BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA.

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS VI

EXEMPLAR ITERATVM

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

Collections

FLORILEGIVM GRAECVM

//

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS VI

EXEMPLAR ITERATVM

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

LIPSIAE: TYPIS B. G. TEVBNERI

I. Socrates narrat, quem ad modum cum Adimanto de democratia collocutus sit.

(Platon. rep. VIII p. 557 A—558 C. cf. fasc. II p. 3.)

‘Δημοκρατία, οἶμαι, γίγνεται, ὅταν οἱ πένητες νική- 1
σαντες τοὺς μὲν ἀποκτείνωσι τῶν ἑτέρων, τοὺς δὲ ἐκ-
βάλωσι, τοῖς δὲ λοιποῖς ἐξ ἴσου μεταδῶσι πολιτείας τε
καὶ ἀρχῶν.’ ‘Ἔστι γάρ’, ἔφη ὁ Ἀδείμαντος, ‘αὕτη ἡ
κατάστασις δημοκρατίας, ἐάν τε καὶ δι’ ὅπλων γένηται
ἐάν τε καὶ διὰ φόβον ὑπεξελθόντων τῶν ἑτέρων.’ ‘Τίνα 2
δὴ οὖν’, ἦν δ’ ἐγώ, ‘οὗτοι τρόπον οἰκοῦσι; καὶ ποία
τις ἡ τοιαύτη αὖ πολιτεία; οὐκοῦν πρῶτον μὲν δὴ
ἐλεύθεροι, καὶ ἐλευθερίας ἡ πόλις μεστὴ καὶ παρρησίας
γίγνεται, καὶ ἐξουσία ἐν αὐτῇ ποιεῖν ὅ τι τις βούλεται;’
‘Λέγεταί γε δή’, ἔφη. ‘Ὅπου δέ γε ἐξουσία, δῆλον
ὅτι ἰδίαν ἕκαστος ἂν κατασκευὴν τοῦ αὐτοῦ βίου κατα-
σκευάζοιτο ἐν αὐτῇ, ἥτις ἕκαστον ἀρέσκοι.’ ‘Δῆλον.’
‘Παντοδαποὶ δὴ ἄν, οἶμαι, ἐν ταύτῃ τῇ πολιτείᾳ μά- 3
λιστ’ ἐγγίγνοιντο ἄνθρωποι.’ ‘Πῶς γὰρ οὔ;’ ‘Κινδυ-
νεύει’, ἦν δ’ ἐγώ, ‘καλλίστη αὕτη τῶν πολιτειῶν εἶναι·
ὥσπερ ἱμάτιον ποικίλον πᾶσιν ἄνθεσι πεποικιλμένον,
οὕτω καὶ αὕτη πᾶσιν ἤθεσι πεποικιλμένη καλλίστη ἂν
φαίνοιτο.’ ‘Τί μήν;’ ἔφη. ‘Καὶ ἴσως μέν’, ἦν δ’ ἐγώ,
‘καὶ ταύτην, ὥσπερ οἱ παῖδές τε καὶ αἱ γυναῖκες τὰ

ποικίλα θεώμενοι, καλλίστην ἂν πολλοὶ κρίνειαν.' 'Καὶ
4 μάλ'', ἔφη. 'Καὶ ἔστι γε, ὦ μακάριε', ἦν δ' ἐγώ, 'ἐπι-
τήδειον ζητεῖν ἐν αὐτῇ πολιτείαν.' 'Τί δή;' 'Ὅτι
πάντα γένη πολιτειῶν ἔχει διὰ τὴν ἐξουσίαν, καὶ κιν-
δυνεύει τῷ βουλομένῳ πόλιν κατασκευάζειν, ὃ νῦν δὴ
ἡμεῖς ἐποιοῦμεν, ἀναγκαῖον εἶναι εἰς δημοκρατουμένην
ἐλθόντι πόλιν, ὃς ἂν αὐτὸν ἀρέσκῃ τρόπος, τοῦτον
ἐκλέξασθαι, ὥσπερ εἰς παντοπώλιον ἀφικομένῳ πολι-
τειῶν, καὶ ἐκλεξαμένῳ οὕτω κατοικίζειν.' 'Ἴσως γοῦν',
5 ἔφη, 'οὐκ ἂν ἀποροῖ παραδειγμάτων.' 'Τὸ δὲ μηδεμίαν
ἀνάγκην', εἶπον, 'εἶναι ἄρχειν ἐν ταύτῃ τῇ πόλει, μηδ'
ἂν ᾖς ἱκανὸς ἄρχειν, μηδὲ αὖ ἄρχεσθαι, ἐὰν μὴ βούλῃ,
μηδὲ πολεμεῖν πολεμούντων, μηδὲ εἰρήνην ἄγειν τῶν ἄλ-
λων ἀγόντων, ἐὰν μὴ ἐπιθυμῇς εἰρήνης, μηδ' αὖ, ἐάν τις
ἄρχειν νόμος σε διακωλύῃ ἢ δικάζειν, μηδὲν ἧττον καὶ
ἄρχειν καὶ δικάζειν, ἐὰν αὐτῷ σοι ἐπίῃ, ἆρ' οὐ θεσπεσία
ὡς ἡδεῖα ἡ τοιαύτη διαγωγὴ ἐν τῷ παραυτίκα;' 'Ἴσως',
6 ἔφη, 'ἔν γε τούτῳ.' 'Τί δέ; ἡ πραότης ἐνίων τῶν
δικασθέντων οὐ κομψή; ἢ οὔπω εἶδες ἐν τοιαύτῃ πο-
λιτείᾳ, ἀνθρώπων καταψηφισθέντων θανάτου ἢ φυγῆς,
οὐδὲν ἧττον αὐτῶν μενόντων τε καὶ ἀναστρεφομένων
ἐν μέσῳ, καὶ ὡς οὔτε φροντίζοντος οὔτε δρῶντος οὐ-
δενὸς περινοστεῖ ὥσπερ ἥρως;' 'Καὶ πολλούς γ'', ἔφη.
7 'Ἡ δὲ συγγνώμη καὶ οὐδ' ὁπωστιοῦν σμικρολογία αὐ-
τῆς, ἀλλὰ καταφρόνησις ὧν ἡμεῖς ἐλέγομεν σεμνύνοντες,
ὅτε τὴν πόλιν ᾠκίζομεν, ὡς εἰ μή τις ὑπερβεβλημένην
φύσιν ἔχοι, οὔποτ' ἂν γένοιτο ἀνὴρ ἀγαθός, εἰ μὴ παῖς
ὢν εὐθὺς παίζοι ἐν καλοῖς καὶ ἐπιτηδεύοι τὰ τοιαῦτα
πάντα, ὡς μεγαλοπρεπῶς καταπατήσασ' ἅπαντα ταῦτα
οὐδὲν φροντίζει, ἐξ ὁποίων ἄν τις ἐπιτηδευμάτων ἐπὶ
τὰ πολιτικὰ ἰὼν πράττῃ, ἀλλὰ τιμᾷ, ἐὰν φῇ μόνον εὔ-

νους εἶναι τῷ πλήθει.' 'Πάνυ γ'', ἔφη, 'γενναία.' 8
'Ταῦτά τε δή', ἔφην, 'ἔχοι ἂν καὶ τούτων ἄλλα ἀδελφὰ
δημοκρατία, καὶ εἴη, ὡς ἔοικεν, ἡδεῖα πολιτεία καὶ
ἄναρχος καὶ ποικίλη, ἰσότητά τινα ὁμοίως ἴσοις τε καὶ
ἀνίσοις διανέμουσα.' 'Καὶ μάλ'', ἔφη, 'γνώριμα λέγεις.'

II. De tyrannide.

(Platon. rep. VIII p. 566 D—568 A. 568 D—569 B. cf. fasc. II p. 3.)

Socrates postquam Adimanto, qui alteras partes agit, demonstravit, quomodo homines novarum rerum cupidi tyrannide potiri solerent, describit sic condicionem et hominis tyranni et reipublicae tyrannice constitutae:

'Διέλθωμεν δὴ τὴν εὐδαιμονίαν', ἦν δ' ἐγώ, 'τοῦ 1
τε ἀνδρὸς καὶ τῆς πόλεως, ἐν ᾗ ἂν ὁ τοιοῦτος βροτὸς
ἐγγένηται.' 'Πάνυ μὲν οὖν', ἔφη, 'διέλθωμεν.' ''Ἆρ'
οὖν', εἶπον, 'οὐ ταῖς μὲν πρώταις ἡμέραις τε καὶ χρόνῳ
προσγελᾷ τε καὶ ἀσπάζεται πάντας, ᾧ ἂν περιτυγχάνῃ,
καὶ οὔτε τύραννός φησιν εἶναι, ὑπισχνεῖταί τε πολλὰ
καὶ ἰδίᾳ καὶ δημοσίᾳ, χρεῶν τε ἠλευθέρωσε, καὶ γῆν
διένειμε δήμῳ τε καὶ τοῖς περὶ ἑαυτόν, καὶ πᾶσιν ἵλεώς
τε καὶ πρᾶος εἶναι προσποιεῖται;' ''Ἀνάγκη', ἔφη. ''Ὅταν 2
δέ γε, οἶμαι, πρὸς τοὺς ἔξω ἐχθροὺς τοῖς μὲν καταλ-
λαγῇ, τοὺς δὲ καὶ διαφθείρῃ, καὶ ἡσυχία ἐκείνων γέ-
νηται, πρῶτον μὲν πολέμους τινὰς ἀεὶ κινεῖ, ἵν' ἐν
χρείᾳ ἡγεμόνος ὁ δῆμος ᾖ.' 'Εἰκός γε.' 'Οὐκοῦν καὶ
ἵνα χρήματα εἰσφέροντες πένητες γιγνόμενοι πρὸς τῷ
καθ' ἡμέραν ἀναγκάζωνται εἶναι καὶ ἧττον αὐτῷ ἐπι-
βουλεύωσιν;' 'Δῆλον.' 'Καὶ ἄν γέ τινας, οἶμαι, ὑπο- 3
πτεύῃ ἐλεύθερα φρονήματα ἔχοντας μὴ ἐπιτρέψειν αὐτῷ
ἄρχειν, ὅπως ἂν τούτους μετὰ προφάσεως ἀπολλύῃ ἐν-
δοὺς τοῖς πολεμίοις; τούτων πάντων ἕνεκα τυράννῳ

*ἀεὶ ἀνάγκη πόλεμον ταράττειν;' 'Ἀνάγκη.' 'Ταῦτα δὴ
ποιοῦντα ἑτοῖμον μᾶλλον ἀπεχθάνεσθαι τοῖς πολίταις;'
4 'Πῶς γὰρ οὔ;' 'Οὐκοῦν καί τινας τῶν ξυγκαταστησάν-
των καὶ ἐν δυνάμει ὄντων παρρησιάζεσθαι καὶ πρὸς
αὐτὸν καὶ πρὸς ἀλλήλους, ἐπιπλήττοντας τοῖς γιγνο-
μένοις, οἳ ἂν τυγχάνωσιν ἀνδρικώτατοι ὄντες;' 'Εἰκός
γε.' 'Ὑπεξαιρεῖν δὴ τούτους πάντας δεῖ τὸν τύραννον,
εἰ μέλλει ἄρξειν, ἕως ἂν μήτε φίλων μήτ' ἐχθρῶν λίπῃ
5 μηδένα, ὅτου τι ὄφελος.' 'Δῆλον.' 'Ὀξέως ἄρα δεῖ
ὁρᾶν αὐτόν, τίς ἀνδρεῖος, τίς μεγαλόφρων, τίς φρόνι-
μος, τίς πλούσιος· καὶ οὕτως εὐδαίμων ἐστίν, ὥστε
τούτοις ἅπασιν ἀνάγκη αὐτῷ, εἴτε βούλεται εἴτε μή,
πολεμίῳ εἶναι καὶ ἐπιβουλεύειν, ἕως ἂν καθήρῃ τὴν
πόλιν.' 'Καλόν γε', ἔφη, 'καθαρμόν.' 'Ναί', ἦν δ'
ἐγώ, 'τὸν ἐναντίον ἢ οἱ ἰατροὶ τὰ σώματα· οἱ μὲν γὰρ
τὸ χείριστον ἀφαιροῦντες λείπουσι τὸ βέλτιστον, ὁ δὲ
τοὐναντίον.' 'Ὡς ἔοικε γάρ, αὐτῷ', ἔφη, 'ἀνάγκη,
6 εἴπερ ἄρξει.' 'Ἐν μακαρίᾳ ἄρα', εἶπον ἐγώ, 'ἀνάγκῃ
δέδεται, ἣ προστάττει αὐτῷ ἢ μετὰ φαύλων τῶν πολ-
λῶν οἰκεῖν καὶ ὑπὸ τούτων μισούμενον ἢ μὴ ζῆν.' 'Ἐν
τοιαύτῃ', ἦ δ' ὅς. 'Ἆρ' οὖν οὐχί, ὅσῳ ἂν μᾶλλον τοῖς
πολίταις ἀπεχθάνηται ταῦτα δρῶν, τοσούτῳ πλειό-
νων καὶ πιστοτέρων δορυφόρων δεήσεται;' 'Πῶς γὰρ
οὔ;' 'Τίνες οὖν οἱ πιστοί, καὶ πόθεν αὐτοὺς μετα-
πέμψεται;' 'Αὐτόματοι', ἔφη, 'πολλοὶ ἥξουσι πετόμενοι,
ἐὰν τὸν μισθὸν διδῷ.' 'Κηφῆνας', ἦν δ' ἐγώ, 'νὴ τὸν
κύνα, δοκεῖς αὖ τινάς μοι λέγειν ξενικούς τε καὶ παν-
7 τοδαπούς.' 'Ἀληθῆ γάρ', ἔφη, 'δοκῶ σοι.' 'Τί δέ;
αὐτόθεν ἆρ' οὐκ ἂν ἐθελήσειεν;' 'Πῶς;' 'Τοὺς δού-
λους ἀφελόμενος τοὺς πολίτας, ἐλευθερώσας, τῶν περὶ
ἑαυτὸν δορυφόρων ποιήσασθαι.' 'Σφόδρα γ'', ἔφη·*

‘ἐπεί τοι καὶ πιστότατοι αὐτῷ οὗτοί εἰσιν.’ ‘Ἦ μακάριον’, ἦν δ’ ἐγώ, ‘λέγεις τυράννου χρῆμα, εἰ τοιούτοις φίλοις τε καὶ πιστοῖς ἀνδράσι χρῆται τοὺς προτέρους ἐκείνους ἀπολέσας.’ ‘Ἀλλὰ μήν’, ἔφη, ‘τοιούτοις γε χρῆται.’ ‘Καὶ θαυμάζουσι δή’, εἶπον, ‘οὗτοι οἱ ἑταῖροι αὐτὸν καὶ ξύνεισιν οἱ νέοι πολῖται, οἱ δ’ ἐπιεικεῖς μισοῦσί τε καὶ φεύγουσιν;’ ‘Τί δ’ οὐ μέλλουσιν;’

Sequitur ironica laus poetarum, quippe qui benevolentiam tyrannorum sibi parare sciant.

‘Ἀλλὰ δή’, εἶπον, ‘ἐνταῦθα μὲν ἐξέβημεν· λέγωμεν 8
δὲ πάλιν ἐκεῖνο τὸ τοῦ τυράννου στρατόπεδον τὸ κα-
λόν τε καὶ πολὺ καὶ ποικίλον καὶ οὐδέποτε ταὐτόν,
πόθεν θρέψεται.’ ‘Δῆλον’, ἔφη, ‘ὅτι, ἐάν τε ἱερὰ χρή-
ματα ᾖ ἐν τῇ πόλει, ταῦτα ἀναλώσει, ὅποι ποτὲ ἂν ἀεὶ
ἐξαρκῇ.’ ‘Τί δ’, ὅταν δὴ ταῦτα ἐπιλείπῃ;’ ‘Δῆλον’, ἔφη,
‘ὅτι ἐκ τῶν πατρῴων θρέψεται αὐτός τε καὶ οἱ συμ-
πόται τε καὶ ἑταῖροι καὶ ἑταῖραι.’ ‘Μανθάνω’, ἦν δ’
ἐγώ· ‘ὅτι ὁ δῆμος ὁ γεννήσας τὸν τύραννον θρέψει
αὐτόν τε καὶ ἑταίρους.’ ‘Πολλὴ αὐτῷ’, ἔφη, ‘ἀνάγκη.’
‘Πῶς δὲ λέγεις;’ εἶπον· ‘ἐὰν ἀγανακτῇ τε καὶ λέγῃ ὁ 9
δῆμος, ὅτι οὔτε δίκαιον τρέφεσθαι ὑπὸ πατρὸς υἱὸν
ἡβῶντα, ἀλλὰ τοὐναντίον ὑπὸ υἱέος πατέρα, οὔτε τού-
του αὐτὸν ἕνεκα ἐγέννησέ τε καὶ κατέστησεν, ἵνα, ἐπειδὴ
μέγας γένοιτο, τότε αὐτὸς δουλεύων τοῖς αὐτοῦ δούλοις
τρέφοι ἐκεῖνόν τε καὶ τοὺς δούλους μετὰ ξυγκλύδων
ἄλλων, ἀλλ’ ἵνα ἀπὸ τῶν πλουσίων τε καὶ καλῶν κἀγα-
θῶν λεγομένων ἐν τῇ πόλει ἐλευθερωθείη ἐκείνου προ-
στάντος, καὶ νῦν κελεύῃ ἀπιέναι ἐκ τῆς πόλεως αὐτόν
τε καὶ τοὺς ἑταίρους, ὥσπερ πατὴρ υἱὸν ἐξ οἰκίας μετὰ
ὀχληρῶν ξυμποτῶν ἐξελαύνων;’ ‘Γνώσεταί γε, νὴ Δία’, 10

ἦ δ' ὅς, 'τότ' ἤδη ὁ δῆμος, οἷος οἷον θρέμμα γεννῶν ἠσπάζετό τε καὶ ηὖξε, καὶ ὅτι ἀσθενέστερος ὢν ἰσχυροτέρους ἐξελαύνει.' 'Πῶς', ἦν δ' ἐγώ, 'λέγεις; τολμήσει τὸν πατέρα βιάζεσθαι, κἂν μὴ πείθηται, τύπτειν ὁ τύραννος;' 'Ναί', ἔφη, 'ἀφελόμενός γε τὰ ὅπλα.' 'Πατραλοίαν', ἦν δ' ἐγώ, 'λέγεις τύραννον καὶ χαλεπὸν γηροτρόφον, καὶ ὡς ἔοικε τοῦτο δὴ ὁμολογουμένη ἂν ἤδη τυραννὶς εἴη.'

III. Socratis et Critobuli de administratione Persici imperii colloquium.

(Xenoph. Oeconomicus 4, 4—15.)

1 '"Αρ'', ἔφη ὁ Σωκράτης, 'μὴ αἰσχυνθῶμεν τὸν
Περσῶν βασιλέα μιμήσασθαι; ἐκεῖνον γάρ φασιν ἐν
τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι
ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην
τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι.' καὶ ὁ Κριτόβουλος ἀκούσας ταῦτα εἶπε· 'Καὶ τοῦτο πιστεύεις,
ὦ Σώκρατες, βασιλέα τὸν Περσῶν γεωργίας τι συνεπι-
2 μελεῖσθαι;' 'Ὧδ' ἄν', ἔφη ὁ Σωκράτης, 'ἐπισκοποῦντες,
ὦ Κριτόβουλε, ἴσως ἂν καταμάθοιμεν, εἴ τι συνεπιμελεῖται. τῶν μὲν γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν
αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι, ὅτι ἐξ ὁπόσωνπερ ἐθνῶν
δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ εἰς
ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας καὶ τοξότας καὶ
σφενδονήτας καὶ γερροφόρους, οἵτινες τῶν τε ὑπ' αὐτοῦ
ἀρχομένων ἱκανοὶ ἔσονται κρατεῖν καί, ἢν πολέμιοι
ἐπίωσιν, ἀρήξουσι τῇ χώρᾳ, χωρὶς δὲ τούτων φυλακὰς
3 ἐν ταῖς ἀκροπόλεσι τρέφει· καὶ τὴν μὲν τροφὴν τοῖς
φρουροῖς δίδωσιν ὁ ἄρχων, ᾧ τοῦτο προστέτακται,

βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθο-
φόρων καὶ τῶν ἄλλων, οἷς ὡπλίσθαι προστέτακται, καὶ
πάντας ἅμα συνάγων πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν,
ἔνθα δὴ ὁ σύλλογος καλεῖται, τοὺς μὲν ἀμφὶ τὴν ἑαυτοῦ
οἴκησιν αὐτὸς ἐφορᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας πι-
στοὺς πέμπει ἐπισκοπεῖν· καὶ οἳ μὲν ἂν φαίνωνται τῶν 4
φρουράρχων καὶ τῶν χιλιάρχων καὶ τῶν σατραπῶν τὸν
ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες καὶ τούτους δο-
κίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι,
τούτους μὲν καὶ ταῖς τιμαῖς αὔξει καὶ δώροις μεγάλοις
καταπλουτίζει, οὓς δ' ἂν εὕρῃ ἢ καταμελοῦντας ἢ κατα-
κερδαίνοντας, τούτους χαλεπῶς κολάζει καὶ παύων τῆς
ἀρχῆς ἄλλους ἐπιμελητὰς καθίστησι. τῶν μὲν δὴ πολεμι- 5
κῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμε-
λεῖσθαι. ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας διελαύνων ἐφορᾷ,
αὐτὸς καὶ δοκιμάζει, ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων
πιστοὺς ἐπισκοπεῖται. καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν 6
ἀρχόντων συνοικουμένην τε τὴν χώραν παρεχομένους
καὶ ἐνεργὸν οὖσαν τὴν γῆν καὶ πλήρη δένδρων τε ὧν
ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην
προστίθησι καὶ δώροις κοσμεῖ καὶ ἕδραις ἐντίμοις γε-
ραίρει, οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ
ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέ-
λειαν, τούτους δὲ κολάζων καὶ παύων τῆς ἀρχῆς ἄρ-
χοντας ἄλλους καθίστησι. ταῦτα ποιῶν δοκεῖ οὐχ ἧττον 7
ἐπιμελεῖσθαι, ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοι-
κούντων, ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων,
καὶ εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον
οὐχ οἱ αὐτοί, ἀλλ' οἱ μὲν ἄρχουσι τῶν κατοικούντων
τε καὶ τῶν ἐργατῶν καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν,
οἱ δ' ἄρχουσι τῶν ὡπλισμένων φρουρῶν. κἂν μὲν ὁ 8

*φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούν-
των ἄρχων καὶ τῶν ἔργων ἐπιμελούμενος κατηγορεῖ
τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν
ἀφυλαξίαν, ἢν δὲ παρέχοντος τοῦ φρουράρχου εἰρήνην
τοῖς ἔργοις ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ
ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος.
9 καὶ γὰρ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι
οὔτε τοὺς φρουροὺς τρέφουσιν οὔτε τοὺς δασμοὺς δύ-
νανται ἀποδιδόναι. ὅπου δ' ἂν σατράπης καθιστῆται,
οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.' ἐκ τούτων ὁ
Κριτόβουλος εἶπεν· 'Οὐκοῦν, εἰ μὲν δὴ ταῦτα ποιεῖ
βασιλεύς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν
10 γεωργικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν.' 'Ἔτι
δὲ πρὸς τούτοις', ἔφη ὁ Σωκράτης, 'ἐν ὁπόσαις τε χώ-
ραις ἐνοικεῖ καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖται
τούτων, ὅπως κῆποί τε ἔσονται οἱ παράδεισοι καλού-
μενοι πάντων καλῶν τε κἀγαθῶν μεστοί, ὅσα ἡ γῆ φύειν
ἐθέλει, καὶ ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν
11 μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ.' 'Νὴ Δί'', ἔφη ὁ Κρι-
τόβουλος, 'ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε δια-
τρίβει αὐτός, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι
ἔσονται οἱ παράδεισοι ἐπιμελεῖσθαι δένδρεσι καὶ τοῖς
12 ἄλλοις ἅπασι καλοῖς, ὅσα ἡ γῆ φύει.' 'Φασὶ δέ τινες',
ἔφη ὁ Σωκράτης, 'ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ
βασιλεύς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς πολέμῳ ἀγαθοὺς
γεγονότας, ὅτι οὐδὲν ὄφελος πολλὰ ἀροῦν, εἰ μὴ εἶεν
οἱ ἀρήξοντες· δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς
χώρας ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, ὅτι οὐδ' ἂν οἱ
ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι.'*

IV. Virtutis bello Persarum probatae et Lacedaemonios et Athenienses iam ante illud bellum studiosissimos fuisse exponitur.

(Isocrat. Panegyr. § 73—84. vid. fasc. II p. 15.)

Μηδεὶς οἰέσθω μ' ἀγνοεῖν, ὅτι καὶ Λακεδαιμόνιοι 1 *πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν· ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω τὴν ἡμετέραν πόλιν, ὅτι τοιούτων ἀνταγωνιστῶν τυχοῦσα τοσοῦτον αὐτῶν διήνεγκεν. βούλομαι δ' ὀλίγῳ μακρότερα περὶ τοῖν πολέοιν εἰπεῖν καὶ μὴ ταχὺ λίαν παραδραμεῖν, ἵν' ἀμφοτέρων ἡμῖν ὑπομνήματα γένηται, τῆς τε τῶν προγόνων ἀρετῆς καὶ τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας. καίτοι μ' οὐ λέληθεν, ὅτι χαλεπόν ἐστιν ὕστατον ἐπελ-* 2 *θόντα λέγειν περὶ πραγμάτων πάλαι προκατειλημμένων καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν· ἀνάγκη γὰρ τὰ μὲν μέγιστ' αὐτῶν ἤδη κατακεχρῆσθαι, μικρὰ δ' ἔτι παραλελεῖφθαι. ὅμως δ' ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.*

Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων 3 *ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέμου τούτου γενομένων καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. οὐ γὰρ ὠλι-* 4 *γώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων,*

ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων,
ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων· οὐδὲ
πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος
ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον,
ὅστις τοιαῦτα τυγχάνοι πράττων, ἐξ ὧν αὐτός τε μέλλοι
μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶ μεγίστην δόξαν
5 καταλείψειν. οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν,
οὐδὲ τὰς τόλμας τὰς αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον
μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ
καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν, μᾶλλον δ' ᾐσχύ-
νοντ' ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς
6 ἰδίοις τοῖς σφετέροις αὐτῶν. τούτων δ' ἦν αἴτιον, ὅτι
τοὺς νόμους ἐσκόπουν, ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν,
οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς
περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων·
ἠπίσταντο γάρ, ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώ-
πων οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλ' ἀπ' ὀλίγων
συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν
7 κοινῶν ὁμονοήσουσιν. οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε
καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, οὐχ ὁπότεροι
τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ'
ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες,
καὶ τὰς ἑταιρείας συνῆγον οὐχ ὑπὲρ τῶν ἰδίᾳ συμφε-
8 ρόντων ἀλλ' ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. τὸν αὐτὸν
δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες
ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας καὶ στρατηγεῖν
οἰόμενοι δεῖν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν καὶ μᾶλλον
ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι
καὶ σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν
εὖ προσαγόμενοι τὰς πόλεις ἀλλ' οὐ βίᾳ καταστρεφό-
9 μενοι, πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις

χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὐτῶν πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

Τοιαύταις διανοίαις χρώμενοι καὶ τοὺς νεωτέρους 10
ἐν τοῖς τοιούτοις ἤθεσι παιδεύοντες οὕτως ἄνδρας ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥστε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν μήτε τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις πεπραγμένων εἰπεῖν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως γάρ ἐστι χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετὰς ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας· τοῖς μὲν γὰρ οὐχ ὕπεισι πράξεις, πρὸς δὲ τοὺς οὐκ εἰσὶν ἁρμόττοντες λόγοι. πῶς γὰρ 11
ἂν γένοιντο σύμμετροι τοιούτοις ἀνδράσιν, οἳ τοσοῦτον μὲν τῶν ἐπὶ Τροίαν στρατευσαμένων διήνεγκαν, ὅσον οἱ μὲν περὶ μίαν πόλιν ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν ἐν ὀλίγῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς αὐτῶν πατρίδας διέσωσαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν ἠλευθέρωσαν; ποίων δ' ἂν ἔργων ἢ πόνων ἢ κινδύνων ἀπέστησαν ὥστε ζῶντες εὐδοκιμεῖν, οἵτινες ὑπὲρ τῆς δόξης, ἧς ἤμελλον τελευτήσαντες ἕξειν, οὕτως ἑτοίμως ἤθελον ἀποθνῄσκειν;
οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν τινα συναγαγεῖν ἀγα- 12
σθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλάθοιεν μηδ' ἀκλεῶς τὸν βίον τελευτήσαιεν, ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσι καὶ καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν· καὶ γὰρ ἐκείνων τὰ

μὲν σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ' ἀρετῆς ἀθάνατον τὴν μνήμην ἐποίησαν.

V. Athenienses iam antiquissimis temporibus aliis omnibus Graecis superiores fuisse inde apparet, quod et pro patria et pro libertate aliorum, qui supplices Athenas confugerunt, multa et magna pericula subierunt.

(Isocrat. Panegyr. § 51—60. vid. fasc. II p. 15.)

Postquam orator Athenienses omnium pacis artium praeceptores fuisse exposuit, nunc bellica quoque virtute eos praeter ceteros floruisse docet:

1 *Ἵνα μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ ὅλων τῶν πραγμάτων ὑποθέμενος, μηδ' ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους, ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν*
2 *ἄλλων εὐεργεσιῶν. οὐ γὰρ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὑτῶν χώρας, τοὺς δ' ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες καὶ*
3 *τοῖς ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν. διὸ δὴ καὶ κατηγοροῦσί τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους. οὐ γὰρ ἀγνοοῦντες, ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν, οὕτως ἐβουλευόμεθα περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντ' ἐκ τῶν*

*τοιούτων ὅμως ἡρούμεθα τοῖς ἀσθενεστέροις καὶ παρὰ
τὸ συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσι τοῦ λυ-
σιτελοῦντος ἕνεκα συναδικεῖν.*

Γνοίη δ' ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τὴν 4
*τῆς πόλεως ἐκ τῶν ἱκετειῶν, ἃς ἤδη τινὲς ἡμῖν ἐποιή-
σαντο. τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας ἢ περὶ μι-
κρῶν ἐλθούσας παραλείψω· πολὺ δὲ πρὸ τῶν Τρωικῶν,
ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ
τῶν πατρίων ἀμφισβητοῦντας, ἦλθον οἵ θ' Ἡρακλέους
παῖδες καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ,* 5
*βασιλεὺς ὢν Ἄργους, οὗτος μὲν ἐκ τῆς στρατείας τῆς
ἐπὶ Θήβας δεδυστυχηκὼς καὶ τοὺς ὑπὸ τῇ Καδμείᾳ
τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι, τὴν
δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις καὶ μὴ
περιορᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτά-
φους γιγνομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον
καταλυόμενον, οἱ δ' Ἡρακλέους παῖδες φεύγοντες τὴν* 6
*Εὐρυσθέως ἔχθραν καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερ-
ορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς αὑτῶν
συμφοραῖς, τὴν δ' ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι
μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαν-
τας ἀνθρώπους εὐεργέτησεν. ἐκ δὴ τούτων ῥᾴδιον* 7
*κατιδεῖν, ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν
ἡγεμονικῶς εἶχε· τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ
τοὺς ἥττους ἢ τοὺς ὑφ' ἑτέροις ὄντας, παραλιπὼν τοὺς
μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων
οὐκ ἰδίων ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας ἄλλους
εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν
Ἑλλήνων ἀξιοῦντας; ἔπειτ' οὐδὲ ψευσθέντες φαίνονται* 8
*τῶν ἐλπίδων, δι' ἃς κατέφυγον ἐπὶ τοὺς προγόνους
ἡμῶν. ἀνελόμενοι γὰρ πόλεμον ὑπὲρ μὲν τῶν τελευ-*

τησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντες ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσι, Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι κἀκεῖνον τῆς ὕβρεως
9 ἔπαυσαν. θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις ἐκ τούτων τῶν ἔργων ἔτι μᾶλλον εὐδοκίμησαν. οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν, ἀλλὰ τοσοῦτον τὰς τύχας ἑκατέρων μετήλλαξαν, ὥσθ' ὁ μὲν ἱκετεύειν ἡμᾶς ἀξιώσας βίᾳ τῶν ἐχθρῶν ἅπανθ' ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν, Εὐρυσθεὺς δὲ βιάσεσθαι προσδοκήσας αὐτὸς αἰχμάλωτος γενόμενος ἱκέτης ἠναγκάσθη καταστῆναι,
10 καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρωπίνην φύσιν, ὃς ἐκ Διὸς μὲν γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην ἔσχε, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν, ἐπειδὴ δ' εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς τοσαύτην κατέστη μεταβολήν, ὥστ' ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενόμενος ἐπονειδίστως τὸν βίον ἐτελεύτησεν.

VI. Dulce et decorum est pro patria mori.

(Lycurg. in Leocr. § 46—51. vid. fasc. II p. 13.)

Loquitur orator de eis, qui apud Chaeroneam pro patria pugnantes mortui sunt.

1 *Αἱ τῶν ἀγαθῶν ἀνδρῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. ἔτι δὲ καὶ δίκαιον τὸν ἔπαινον, ὃς μόνος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστί, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς τὰς αὑτῶν ἀνά-

λωσαν, ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως
μὴ παραλιπεῖν. ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν 2
ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων
ἐλευθερίας μαχούμενοι, οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπί-
δας τῆς σωτηρίας ἔχοντες οὐδὲ τὴν χώραν κακῶς
ποιεῖν προέμενοι τοῖς ἐχθροῖς, ἀλλὰ τὴν μὲν αὑτῶν
ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν
λιθίνων περιβόλων, τὴν δὲ θρέψασαν αὑτοὺς αἰσχυνό-
μενοι περιορᾶν πορθουμένην, εἰκότως· ὥσπερ γὰρ πρὸς 3
τοὺς φύσει γεννήσαντας καὶ τοὺς ποιητοὺς τῶν πατέ-
ρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω
καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας ἀλλ'
ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διάκεινται.
τοιαύταις δὲ γνώμαις χρησάμενοι καὶ τοῖς ἀρίστοις
ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες οὐχ ὁμοίως
τῆς τύχης ἐκοινώνησαν· τῆς γὰρ ἀρετῆς οὐ ζῶντες ἀπο-
λαύουσιν, ἀλλὰ τελευτήσαντες τὴν δόξαν καταλελοί-
πασιν, οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες ἔνθαπερ
ἐτάχθησαν ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. εἰ δὲ δεῖ 4
καὶ παραδοξότατον μὲν εἰπεῖν ἀληθὲς δέ, ἐκεῖνοι νι-
κῶντες ἀπέθανον. τὰ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγα-
θοῖς ἀνδράσιν ἐστὶν ἐλευθερία καὶ ἀρετή· ταῦτα γὰρ
ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. ἔπειτα δὲ οὐδ'
οἷόν τ' ἐστὶν εἰπεῖν ἡττῆσθαι τοὺς ταῖς διανοίαις μὴ
πτήξαντας τὸν τῶν ἐπιόντων φόβον. μόνους γὰρ τοὺς
ἐν τοῖς πολέμοις καλῶς ἀποθνῄσκοντας οὐδ' ἂν εἷς
ἡττῆσθαι δικαίως φήσειε· τὴν γὰρ δουλείαν φεύγοντες
εὐκλεᾶ θάνατον αἱροῦνται. ἐδήλωσε δὲ ἡ τούτων τῶν 5
ἀνδρῶν ἀρετή· μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλ-
λάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. ἅμα
γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν καὶ τὰ τῆς Ἑλλάδος

εἰς δουλείαν μετέπεσεν· συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία. ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. ὥστε, ὦ ἄνδρες, οὐκ ἂν αἰσχυνθείην εἰπὼν στέφανον τῆς πα-
6 *τρίδος εἶναι τὰς ἐκείνων ψυχάς. καὶ δι' ἃ οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ' ὑμῖν δὲ στρατηγοὺς ἀγαθοὺς καὶ τοὺς τὸν τύραννον ἀποκτείναντας. καὶ τοιούτους μὲν ἄνδρας οὐδ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν ῥᾴδιον, τοὺς δὲ τοὺς στεφανίτας ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἔστι γεγονότας ἰδεῖν.*

VII. Atheniensium de civitate peregrinis danda leges insigni Plataeensium exemplo illustrantur.

([Dem.] LIX 88—106. § 2 *γέρρα* sunt crates, quibus comitii aditus peregrinis intercluditur; misso populo removentur, *ἀναιρεῖται*.)

1 *Ὁ δῆμος ὁ Ἀθηναίων κυριώτατος ὢν τῶν ἐν τῇ πόλει ἁπάντων, καὶ ἐξὸν αὐτῷ ποιεῖν ὅ τι ἂν βούληται, οὕτω καλὸν καὶ σεμνὸν ἡγήσατ' εἶναι δῶρον τὸ Ἀθηναῖον γενέσθαι, ὥστε νόμους ἔθετο αὑτῷ, καθ' οὓς ποιεῖσθαι δεῖ, ἐάν τινα βούλωνται, πολίτην. πρῶτον μὲν γὰρ νόμος ἐστὶ τῷ δήμῳ κείμενος μὴ ἐξεῖναι ποιήσασθαι Ἀθηναῖον, ὃν ἂν μὴ δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον τὸν Ἀθηναίων ἄξιον ᾖ γενέσθαι πολίτην. ἔπειτ' ἐπειδὰν πεισθῇ ὁ δῆμος καὶ δῷ τὴν δωρειάν, οὐκ ἐᾷ κυρίαν γενέσθαι τὴν ποίησιν, ἐὰν μὴ τῇ ψήφῳ*

εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν ὑπερεξακισχίλιοι Ἀθηναίων ψηφίσωνται κρύβδην ψηφιζόμενοι. τοὺς δὲ πρυτάνεις 2
κελεύει τιθέναι τοὺς καδίσκους ὁ νόμος καὶ τὴν ψῆφον διδόναι προσιόντι τῷ δήμῳ, πρὶν τοὺς ξένους εἰσιέναι καὶ τὰ γέρρα ἀναιρεῖν, ἵνα κύριος ὢν αὐτὸς αὑτοῦ ἕκαστος σκοπῆται πρὸς αὑτόν, ὅντινα μέλλει πολίτην ποιήσεσθαι, εἰ ἄξιός ἐστι τῆς δωρειᾶς ὁ μέλλων λήψεσθαι. ἔπειτα μετὰ ταῦτα παρανόμων γραφὴν ἐποίησε κατ' αὐτοῦ τῷ βουλομένῳ Ἀθηναίων, καὶ ἔστιν εἰσελθόντ' εἰς τὸ δικαστήριον ἐξελέγξαι, ὡς οὐκ ἄξιός ἐστι τῆς δωρειᾶς, ἀλλὰ παρὰ τοὺς νόμους Ἀθηναῖος γέγονεν. καὶ ἤδη τισὶ τοῦ δήμου δόντος τὴν δωρειάν, λόγῳ 3
ἐξαπατηθέντος ὑπὸ τῶν αἰτούντων, παρανόμων γραφῆς γενομένης καὶ εἰσελθούσης εἰς τὸ δικαστήριον, ἐξελεγχθῆναι συνέβη τὸν εἰληφότα τὴν δωρειὰν μὴ ἄξιον εἶναι αὐτῆς, καὶ ἀφείλετο τὸ δικαστήριον. οὕτω τοίνυν καλῶς καὶ ἰσχυρῶς τῶν νόμων κειμένων ὑπὲρ τῆς πολιτείας, δι' ὧν δεῖ Ἀθηναῖον γενέσθαι, ἕτερός ἐστιν ἐφ' ἅπασι τούτοις κυριώτατος νόμος κείμενος. ὅσους 4
γὰρ ἂν ποιήσηται ὁ δῆμος ὁ Ἀθηναίων πολίτας, ὁ νόμος ἀπαγορεύει διαρρήδην μὴ ἐξεῖναι αὐτοῖς τῶν ἐννέα ἀρχόντων γενέσθαι μηδὲ ἱερωσύνης μηδεμιᾶς μετασχεῖν· τοῖς δ' ἐκ τούτων μετέδωκεν ἤδη ὁ δῆμος ἁπάντων καὶ προσέθηκεν, ἐὰν ὦσιν ἐκ γυναικὸς ἀστῆς καὶ ἐγγυητῆς κατὰ τὸν νόμον. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, μεγάλῃ καὶ περιφανεῖ μαρτυρίᾳ ἐγὼ ὑμῖν δηλώσω.

Πλαταιεῖς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, μόνοι τῶν Ἑλ- 5
λήνων ὑμῖν ἐβοήθησαν Μαραθῶνάδε, ὅτε Δᾶτις ὁ βασιλέως Δαρείου στρατηγὸς ἀναχωρῶν ἐξ Ἐρετρίας, Εὔβοιαν ὑφ' ἑαυτῷ ποιησάμενος, ἀπέβη εἰς τὴν χώραν πολλῇ δυνάμει καὶ ἐπόρθει. καὶ ἔτι καὶ νῦν τῆς

ἀνδραγαθίας αὐτῶν ὑπομνήμαθ' ἡ ἐν τῇ ποικίλῃ στοᾷ
γραφὴ δεδήλωκεν· ὡς ἕκαστος γὰρ τάχους εἶχεν, εὐθὺς
προσβοηθῶν γέγραπται, οἱ τὰς κυνᾶς τὰς Βοιωτίας
6 *ἔχοντες. πάλιν δὲ Ξέρξου ἰόντος ἐπὶ τὴν Ἑλλάδα,*
Θηβαίων μηδισάντων, οὐκ ἐτόλμησαν ἀποστῆναι τῆς
ὑμετέρας φιλίας, ἀλλὰ μόνοι τῶν ἄλλων Βοιωτῶν οἱ
μὲν ἡμίσεις αὐτῶν μετὰ Λακεδαιμονίων καὶ Λεωνίδου
ἐν Θερμοπύλαις παραταξάμενοι τῷ βαρβάρῳ ἐπιόντι
συναπώλοντο, οἱ δὲ λοιποὶ ἐμβάντες εἰς τὰς ὑμετέρας
τριήρεις, ἐπειδὴ αὐτοῖς οἰκεῖα σκάφη οὐχ ὑπῆρχε, συν-
εναυμάχουν ὑμῖν ἐπί τε Ἀρτεμισίῳ καὶ ἐν Σαλαμῖνι.
7 *καὶ τὴν τελευταίαν μάχην Πλαταιᾶσι Μαρδονίῳ τῷ*
βασιλέως στρατηγῷ μεθ' ὑμῶν καὶ τῶν συνελευθε-
ρούντων τὴν Ἑλλάδα μαχεσάμενοι εἰς κοινὸν τὴν
ἐλευθερίαν τοῖς ἄλλοις Ἕλλησι κατέθηκαν. ἐπεὶ δὲ
Παυσανίας ὁ Λακεδαιμονίων βασιλεὺς ὑβρίζειν ἐνεχεί-
ρει ὑμᾶς καὶ οὐκ ἠγάπα, ὅτι τῆς ἡγεμονίας μόνοι
ἠξιώθησαν Λακεδαιμόνιοι ὑπὸ τῶν Ἑλλήνων καὶ ἡ
πόλις τῇ μὲν ἀληθείᾳ ἡγεῖτο τῆς ἐλευθερίας τοῖς Ἕλ-
λησι, τῇ δὲ φιλοτιμίᾳ οὐκ ἠναντιοῦτο τοῖς Λακεδαι-
8 *μονίοις, ἵνα μὴ φθονηθῶσιν ὑπὸ τῶν συμμάχων· ἐφ'*
οἷς φυσηθεὶς Παυσανίας ὁ τῶν Λακεδαιμονίων βασι-
Thuc. I 132 *λεὺς ἐπέγραψεν ἐπὶ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν*
οἱ Ἕλληνες οἱ συμμαχεσάμενοι τὴν Πλαταιᾶσι μάχην
καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ναυμαχήσαντες κοινῇ
ποιησάμενοι ἀνέθηκαν ἀριστεῖον τῷ Ἀπόλλωνι ἀπὸ
τῶν βαρβάρων,

"Ἑλλήνων ἀρχηγός, ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε,'

ὡς αὐτοῦ τοῦ τ' ἔργου ὄντος καὶ τοῦ ἀναθήματος,
9 *ἀλλ' οὐ κοινοῦ τῶν συμμάχων· ὀργισθέντων δὲ τῶν*

Ἑλλήνων οἱ Πλαταιεῖς λαγχάνουσι δίκην τοῖς Λακεδαιμονίοις εἰς τοὺς Ἀμφικτύονας χιλίων ταλάντων ὑπὲρ τῶν συμμάχων καὶ ἠνάγκασαν αὐτοὺς ἐκκολάψαντας τὰ ἐλεγεῖ' ἐπιγράψαι τὰς πόλεις τὰς κοινωνούσας τοῦ ἔργου. διόπερ αὐτοῖς οὐχ ἥκιστα παρηκολούθει ἡ ἔχθρα ἡ παρὰ Λακεδαιμονίων καὶ ἐκ τοῦ γένους τοῦ βασιλείου.

Καὶ ἐν μὲν τῷ παρόντι οὐκ εἶχον αὐτοῖς ὅ τι χρήσωνται οἱ Λακεδαιμόνιοι, ὕστερον δ' ὡς πεντήκοντ' ἔτεσιν Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεὺς εἰρήνης οὔσης ἐνεχείρησεν αὐτῶν καταλαβεῖν τὴν πόλιν. ἔπραξε δὲ ταῦτ' ἐκ Θηβῶν δι' Εὐρυμάχου τοῦ 10
Λεοντιάδου βοιωταρχοῦντος, ἀνοιξάντων τὰς πύλας τῆς Ol. 87, 1 a. Chr.
νυκτὸς Ναυκλείδου καὶ ἄλλων τινῶν μετ' αὐτοῦ 431
πεισθέντων χρήμασιν. αἰσθόμενοι δ' οἱ Πλαταιεῖς Thuc. II 2 sq.
ἔνδον ὄντας τοὺς Θηβαίους τῆς νυκτὸς καὶ ἐξαπίνης αὐτῶν τὴν πόλιν ἐν εἰρήνῃ κατειλημμένην, προσεβοήθουν καὶ αὐτοὶ καὶ συνετάττοντο. καὶ ἐπειδὴ ἡμέρα ἐγένετο καὶ εἶδον οὐ πολλοὺς ὄντας τοὺς Θηβαίους, ἀλλὰ τοὺς πρώτους αὐτῶν εἰσεληλυθότας — ὕδωρ γὰρ γενόμενον τῆς νυκτὸς πολὺ ἐκώλυσεν αὐτοὺς πάντας εἰσελθεῖν· ὁ γὰρ Ἀσωπὸς ποταμὸς μέγας ἐρρύη καὶ διαβῆναι οὐ ῥᾴδιον ἦν, ἄλλως τε καὶ νυκτός — ὡς οὖν 11
εἶδον οἱ Πλαταιεῖς τοὺς Θηβαίους ἐν τῇ πόλει καὶ ἔγνωσαν, ὅτι οὐ πάντες πάρεισιν, ἐπιτίθενται καὶ εἰς μάχην ἐλθόντες κρατοῦσι καὶ φθάνουσιν ἀπολέσαντες αὐτούς, πρὶν τοὺς ἄλλους προσβοηθῆσαι, καὶ ὡς ὑμᾶς πέμπουσιν εὐθὺς ἄγγελον τήν τε πρᾶξιν φράσοντα καὶ τὴν μάχην δηλώσονθ' ὅτι νικῶσι, καὶ βοηθεῖν ἀξιοῦντες, ἂν οἱ Θηβαῖοι τὴν χώραν αὐτῶν δῃῶσιν. ἀκούσαντες δ' οἱ Ἀθηναῖοι τὰ γεγονότα διὰ τάχους ἐβοή-

θουν εἰς τὰς Πλαταιάς· καὶ οἱ Θηβαῖοι ὡς ἑώρων τοὺς Ἀθηναίους βεβοηθηκότας τοῖς Πλαταιεῦσιν, ἀνεχώρησαν ἐπ' οἴκου.

12 *Ὡς οὖν ἀπέτυχον οἱ Θηβαῖοι τῆς πείρας καὶ οἱ Πλαταιεῖς τοὺς ἄνδρας, οὓς ἔλαβον αὐτῶν ἐν τῇ μάχῃ ζῶντας, ἀπέκτειναν, ὀργισθέντες οἱ Λακεδαιμόνιοι ἀπροφασίστως ἤδη στρατεύουσιν ἐπὶ τὰς Πλαταιάς, Πελοποννησίοις μὲν ἅπασι πλὴν Ἀργείων τὰ δύο μέρη τῆς στρατιᾶς ἀπὸ τῶν πόλεων ἑκάστων πέμπειν ἐπιτάξαντες, Βοιωτοῖς δὲ τοῖς ἄλλοις ἅπασι καὶ Λοκροῖς καὶ Φωκεῦσι καὶ Μηλιεῦσι καὶ Οἰταίοις καὶ Αἰνιᾶσι πανδημεὶ*
13 *ἐπαγγείλαντες στρατεύειν. καὶ περικαθεζόμενοι αὐτῶν τὸ τεῖχος πολλῇ δυνάμει ἐπηγγέλλοντο, εἰ βούλοιντο τὴν μὲν πόλιν αὐτοῖς παραδοῦναι, τὴν δὲ χώραν ἔχειν καὶ καρποῦσθαι τὰ αὐτῶν, ἀφίστασθαι δὲ τῆς Ἀθηναίων συμμαχίας. οὐκ ἐθελησάντων δὲ τῶν Πλαταιέων, ἀλλ'*
Ol. 87, 3 *ἀποκριναμένων, ὅτι ἄνευ Ἀθηναίων οὐδὲν ἂν πράξειαν,*
a. Chr. 430/29 *ἐπολιόρκουν αὐτοὺς διπλῷ τείχει περιτειχίσαντες δύο*
14 *ἔτη, πολλὰς καὶ παντοδαπὰς πείρας προσάγοντες. ἐπεὶ δ' ἀπειρήκεσαν οἱ Πλαταιεῖς καὶ ἐνδεεῖς ἦσαν ἁπάντων καὶ ἠποροῦντο τῆς σωτηρίας, διακληρωσάμενοι πρὸς*
Thuc. III *σφᾶς αὐτοὺς οἱ μὲν ὑπομείναντες ἐπολιορκοῦντο, οἱ*
20 sq. *δὲ τηρήσαντες νύκτα καὶ ὕδωρ καὶ ἄνεμον πολύν, ἐξελθόντες ἐκ τῆς πόλεως καὶ ὑπερβάντες τὸ περιτείχισμα, τῶν πολεμίων λαθόντες τὴν στρατιάν, ἀποσφάξαντες τοὺς φύλακας διασῴζονται δεῦρο, δεινῶς διακείμενοι καὶ ἀπροσδοκήτως· οἱ δ' ὑπομείναντες αὐτῶν ἁλούσης τῆς πόλεως κατὰ κράτος ἀπεσφάγησαν πάντες οἱ ἡβῶντες, παῖδες δὲ καὶ γυναῖκες ἐξηνδραποδίσθησαν, ὅσοι μὴ αἰσθόμενοι ἐπιόντας τοὺς Λακεδαιμονίους ὑπεξῆλθον Ἀθήναζε. τοῖς οὖν οὕτω φανερῶς*

ἐνδεδειγμένοις τὴν εὔνοιαν τῷ δήμῳ καὶ προεμένοις ἅπαντα τὰ αὑτῶν καὶ παῖδας καὶ γυναῖκας σκοπεῖτε πῶς μετέδοτε τῆς πολιτείας. ἐκ γὰρ τῶν ψηφισμάτων τῶν ὑμετέρων καταφανὴς πᾶσιν ἔσται ὁ νόμος, καὶ γνώσεσθ' ὅτι ἀληθῆ λέγω. καί μοι λαβὲ τὸ ψήφισμα τοῦτο καὶ ἀνάγνωθι αὐτοῖς.

ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΠΛΑΤΑΙΕΩΝ.

Ὁρᾶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὡς καλῶς καὶ δικαίως 16
ἔγραψεν ὁ ῥήτωρ ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων, καὶ ἠξίωσε τοὺς Πλαταιέας λαμβάνοντας τὴν δωρειὰν πρῶτον μὲν δοκιμασθῆναι ἐν τῷ δικαστηρίῳ κατ' ἄνδρα ἕκαστον, εἰ ἔστι Πλαταιεὺς καὶ εἰ τῶν φίλων τῶν τῆς πόλεως, ἵνα μὴ ἐπὶ ταύτῃ τῇ προφάσει πολλοὶ μεταλάβωσι τῆς πολιτείας· ἔπειτα τοὺς δοκιμασθέντας ἀναγραφῆναι ἐν στήλῃ λιθίνῃ καὶ στῆσαι ἐν ἀκροπόλει παρὰ τῇ θεῷ, ἵνα σῴζηται ἡ δωρειὰ τοῖς ἐπιγιγνομένοις καὶ ᾖ ἐξελέγξαι, ὅτου ἂν ἕκαστος ᾖ συγγενής.
καὶ ὕστερον οὐκ ἐᾷ γίγνεσθαι Ἀθηναῖον ἐξεῖναι, ὃς 17
ἂν μὴ νῦν γένηται καὶ δοκιμασθῇ ἐν τῷ δικαστηρίῳ, τοῦ μὴ πολλοὺς φάσκοντας Πλαταιέας εἶναι κατασκευάζειν αὑτοῖς πολιτείαν. ἔπειτα καὶ τὸν νόμον διωρίσατ' ἐν τῷ ψηφίσματι πρὸς αὐτοὺς ὑπέρ τε τῆς πόλεως καὶ τῶν θεῶν, μὴ ἐξεῖναι αὐτῶν μηδενὶ τῶν ἐννέα ἀρχόντων λαχεῖν μηδ' ἱερωσύνης μηδεμιᾶς, τοῖς δ' ἐκ τούτων, ἂν ὦσιν ἐξ ἀστῆς γυναικὸς καὶ ἐγγυητῆς κατὰ τὸν νόμον.

VIII. Provocatio ad iudices de civitate.

(Dem. LVII 1—17.)

Ol. 108, 3 (a. Chr. 346/5) Athenis omnibus de civibus in suo de quoque pago suffragia lata sunt, ut ei qui civitatem usurpassent eicerentur (*ἀποψήφισις*). is qui causam dicit iniquo pagi sui suffragio eiectus ad iudices provocavit; qui si iudicium illud sanxerint, sub corona eum venire volunt leges. pagi Halimuntis suffragium ab Eubulide pagi praefecto defenditur.

1 *Πολλὰ καὶ ψευδῆ κατηγορηκότος ἡμῶν Εὐβουλίδου καὶ βλασφημίας οὔτε προσηκούσας οὔτε δικαίας πεποιημένου, πειράσομαι τἀληθῆ καὶ τὰ δίκαια λέγων, ὦ ἄνδρες δικασταί, δεῖξαι καὶ μετὸν τῆς πόλεως ἡμῖν καὶ πεπονθότ' ἐμαυτὸν οὐχὶ προσήκονθ' ὑπὸ τούτου. δέομαι δ' ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω καὶ ἀντιβολῶ λογισαμένους τό τε μέγεθος τοῦ παρόντος ἀγῶνος καὶ τὴν αἰσχύνην, μεθ' ἧς ὑπάρχει τοῖς ἁλισκομένοις ἀπολωλέναι, ἀκοῦσαι καὶ ἐμοῦ σιωπῇ, μάλιστα μέν, εἰ δυνατόν, μετὰ πλείονος εὐνοίας ἢ τούτου (τοῖς γὰρ ἐν κινδύνῳ καθεστηκόσιν εἰκὸς εὐνοϊκωτέρους ὑπάρχειν), εἰ δὲ μή, μετά γε τῆς ἴσης.*
2 *συμβαίνει δέ μοι τὸ μὲν καθ' ἡμᾶς, ὦ ἄνδρες δικασταί, καὶ τὸ προσήκειν μοι τῆς πόλεως, θαρρεῖν καὶ πολλὰς ἔχειν ἐλπίδας καλῶς ἀγωνιεῖσθαι, τὸν καιρὸν δὲ καὶ τὸ παρωξύνθαι τὴν πόλιν πρὸς τὰς ἀποψηφίσεις φοβεῖσθαι· πολλῶν γὰρ ἐξεληλαμένων δικαίως ἐκ πάντων τῶν δήμων, συγκεκοινωνήκαμεν τῆς δόξης ταύτης οἱ κατεστασιασμένοι καὶ πρὸς τὴν κατ' ἐκείνων αἰτίαν, οὐ πρὸς τὸ καθ' αὑτὸν ἕκαστος ἀγωνιζόμεθα,*
3 *ὥστ' ἐξ ἀνάγκης μέγαν ἡμῖν εἶναι τὸν φόβον. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἃ νομίζω περὶ*

τούτων αὐτῶν εἶναι δίκαι' ἐρῶ πρὸς ὑμᾶς. ἐγὼ γὰρ οἶμαι δεῖν ὑμᾶς τοῖς μὲν ἐξελεγχομένοις ξένοις οὖσιν χαλεπαίνειν, εἰ μήτε πείσαντες μήτε δεηθέντες ὑμῶν λάθρᾳ καὶ βίᾳ τῶν ὑμετέρων ἱερῶν καὶ κοινῶν μετεῖχον, τοῖς δ' ἠτυχηκόσι καὶ δεικνύουσι πολίτας ὄντας αὑτοὺς βοηθεῖν καὶ σῴζειν, ἐνθυμουμένους ὅτι πάντων οἰκτρότατον πάθος ἡμῖν ἂν συμβαίη τοῖς ἠδικημένοις, εἰ τῶν λαμβανόντων δίκην ὄντες ἂν δικαίως μεθ' ὑμῶν, ἐν τοῖς διδοῦσι γενοίμεθα καὶ συναδικηθείημεν διὰ τὴν τοῦ πράγματος ὀργήν.

Ἐπειδὴ τοίνυν οὗτος εἰδὼς τοὺς νόμους καὶ μᾶλλον 4
*ἢ προσῆκεν ἀδίκως καὶ πλεονεκτικῶς τὴν κατηγορίαν
πεποίηται, ἀναγκαῖον ἐμοὶ περὶ ὧν ἐν τοῖς δημόταις
ὑβρίσθην πρῶτον εἰπεῖν. ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι,
μηδέπω τὴν τῶν δημοτῶν ἀποψήφισιν ποιεῖσθαι τεκμή-
ριον ὑμᾶς, ὡς ἄρ' οὐχὶ προσήκει μοι τῆς πόλεως. εἰ
γὰρ πάντ' ἐνομίζετε τὰ δίκαια δυνήσεσθαι τοὺς δημό-
τας διακρῖναι, οὐκ ἂν ἐδώκατε τὴν εἰς ὑμᾶς ἔφεσιν·
νῦν δὲ καὶ διὰ φιλονεικίαν καὶ διὰ φθόνον καὶ δι'
ἔχθραν καὶ δι' ἄλλας προφάσεις ἔσεσθαί τι τοιοῦτον
ἡγούμενοι τὴν εἰς ὑμᾶς τοῖς ἀδικηθεῖσιν ἐποιήσατε
καταφυγήν, δι' ἣν καλῶς ποιοῦντες, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τοὺς ἠδικημένους ἅπαντας σεσώκατε. πρῶτον* 5
*μὲν οὖν, ὃν τρόπον ἐν τοῖς δημόταις συνέβη τὴν δια-
ψήφισιν γενέσθαι, φράσω πρὸς ὑμᾶς· τὸ γὰρ εἰς αὐτὸ
τὸ πρᾶγμα πάντα λέγειν τοῦτ' ἔγωγ' ὑπολαμβάνω, ὅσα
τις παρὰ τὸ ψήφισμα πέπονθεν ἀδίκως καταστασια-
σθείς, ἐπιδεῖξαι.*

Εὐβουλίδης γὰρ οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς 6
*ὑμῶν ἴσασι πολλοί, γραψάμενος ἀσεβείας τὴν ἀδελφὴν
τὴν Λακεδαιμονίου τὸ πέμπτον μέρος τῶν ψήφων οὐ*

μετέλαβεν. ὅτι δὴ ἐν ἐκείνῳ τῷ ἀγῶνι τὰ δίκαια,
τούτῳ δὲ τἀναντί' ἐμαρτύρησα, διὰ ταύτην τὴν ἔχθραν
ἐπιτίθεταί μοι. καὶ βουλεύων, ὦ ἄνδρες δικασταί, καὶ
κύριος ὢν τοῦ θ' ὅρκου καὶ τῶν γραμμάτων, ἐξ ὧν
7 ἀνεκάλει τοὺς δημότας, τί ποιεῖ; πρῶτον μέν, ἐπειδὴ
συνελέγησαν οἱ δημόται, κατέτριψε τὴν ἡμέραν δημη-
γορῶν καὶ ψηφίσματα γράφων. τοῦτο δ' ἦν οὐκ ἀπὸ
ταὐτομάτου, ἀλλ' ἐπιβουλεύων ἐμοί, ὅπως ὡς ὀψιαίταθ'
ἡ διαψήφισις ἡ περὶ ἐμοῦ γένοιτο· καὶ διεπράξατο
τοῦτο. καὶ τῶν μὲν δημοτῶν οἱ ὀμόσαντες ἐγενόμεθα
τρεῖς καὶ ἑβδομήκοντα, ἠρξάμεθα δὲ τοῦ διαψηφίζε-
σθαι δείλης ὀψίας, ὥστε συνέβη, ἡνίκα τοὐμὸν ὄνομ'
8 ἐκαλεῖτο, σκότος εἶναι ἤδη· καὶ γὰρ ἦν περὶ ἑξηκοστόν,
καὶ ἐκλήθην ὕστατος ἁπάντων τῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
κληθέντων, ἡνίκα οἱ μὲν πρεσβύτεροι τῶν δημοτῶν
ἀπεληλύθεσαν εἰς τοὺς ἀγρούς· τοῦ γὰρ δήμου ἡμῖν,
ὦ ἄνδρες δικασταί, πέντε καὶ τριάκοντα στάδια τοῦ
ἄστεως ἀπέχοντος καὶ τῶν πλείστων ἐκεῖ οἰκούντων
ἀπεληλύθεσαν οἱ πολλοί· οἱ δὲ κατάλοιποι ἦσαν οὐ
πλείους ἢ τριάκοντα. ἐν δὲ τούτοις ἦσαν ἅπαντες οἱ
9 τούτῳ παρεσκευασμένοι. ἐπειδὴ δ' ἐκλήθη τοὐμὸν
ὄνομα, ἀναπηδήσας οὗτος ἐβλασφήμει κατ' ἐμοῦ ταχὺ
καὶ πολλὰ καὶ μεγάλῃ τῇ φωνῇ, ὥσπερ καὶ νῦν, μάρ-
τυρα μὲν ὧν κατηγόρησεν οὐδένα παρασχόμενος οὔτε
τῶν δημοτῶν οὔτε τῶν ἄλλων πολιτῶν, παρεκελεύετο
10 δὲ τοῖς δημόταις ἀποψηφίζεσθαι. ἀξιοῦντος δέ μου
ἀναβαλέσθαι εἰς τὴν ὑστεραίαν διά τε τὴν ὥραν καὶ
τὸ μηδένα μοι παρεῖναι τό τε πρᾶγμ' ἄφνω προσπεπτω-
κέναι, ἵνα τούτῳ τ' ἐξουσία γένοιθ' ὁπόσα βούλοιτο
κατηγορῆσαι καὶ μάρτυρας εἴ τινας ἔχοι παρασχέσθαι,
ἐμοί τ' ἐκγένοιτ' ἀπολογήσασθαι ἐν ἅπασι τοῖς δημό-

ταις καὶ τοὺς οἰκείους μάρτυρας παρασχέσθαι· καὶ ὅ
τι γνοίησαν περὶ ἐμοῦ, τούτοις ἤθελον ἐμμένειν· οὗτος 11
ὧν μὲν ἐγὼ προὐκαλούμην οὐδὲν ἐφρόντισε, τὴν δὲ
ψῆφον εὐθὺς ἐδίδου τοῖς παροῦσι τῶν δημοτῶν, οὔτ'
ἀπολογίαν ἐμοὶ δοὺς οὐδεμίαν οὔτ' ἔλεγχον οὐδέν'
ἀκριβῆ ποιήσας. οἱ δὲ τούτῳ συνεστῶτες ἀναπηδή-
σαντες ἐψηφίζοντο. καὶ ἦν μὲν σκότος, οἱ δὲ λαμβά-
νοντες δύο καὶ τρεῖς ψήφους ἕκαστος παρὰ τούτου
ἐνέβαλλον εἰς τὸν καδίσκον. σημεῖον δέ· οἱ μὲν γὰρ
ψηφισάμενοι οὐ πλείους ἢ τριάκοντ' ἦσαν, αἱ δὲ ψῆφοι
ἠριθμήθησαν πλείους ἢ ἑξήκοντα, ὥστε πάντας ἡμᾶς
ἐκπλαγῆναι. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, καὶ ὅτι οὔτ'
ἐδόθη ἡ ψῆφος ἐν ἅπασι πλείους τ' ἐγένοντο τῶν
ψηφισαμένων, μάρτυρας ὑμῖν παρέξομαι.

Εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, συνέβαινε τοῖς 12
Ἁλιμουσίοις περὶ ἁπάντων τῶν δημοτῶν διαψηφίσα-
σθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφί-
ζεσθαι, ἵν' ἀπηλλαγμένοι ἦσαν ποιήσαντες τὰ ὑμῖν
ἐψηφισμένα. εἰ δὲ πλείους ἢ εἴκοσιν ὑπόλοιποι ἦσαν
τῶν δημοτῶν, περὶ ὧν ἔδει τῇ ὑστεραίᾳ διαψηφίσα-
σθαι, καὶ ὁμοίως ἦν ἀνάγκη συλλέγεσθαι τοὺς δημό-
τας, τί ποτ' ἦν τὸ δυσχερὲς Εὐβουλίδῃ ἀναβαλέσθαι
εἰς τὴν ὑστεραίαν καὶ περὶ ἐμοῦ πρώτου τὴν ψῆφον
διδόναι τοῖς δημόταις; διότι, ὦ ἄνδρες δικασταί, οὐκ 13
ἠγνόει Εὐβουλίδης, ὅτι εἰ λόγος ἀποδοθήσοιτο καὶ
παραγένοιντό μοι πάντες οἱ δημόται καὶ ἡ ψῆφος δι-
καίως δοθείη, οὐδαμοῦ φανήσονται οἱ μετὰ τούτου
συνεστηκότες. ὅθεν δ' οὗτοι συνέστησαν, ταῦτ', ἐπει-
δὰν περὶ τοῦ γένους εἴπω, τότ', ἂν βούλησθ' ἀκούειν,
ἐρῶ. νῦν δὲ τί δίκαιον νομίζω καὶ τί παρεσκεύασμαι 14
ποιεῖν, ἄνδρες δικασταί; δεῖξαι πρὸς ὑμᾶς ἐμαυτὸν

Ἀθηναῖον ὄντα καὶ τὰ πρὸς πατρὸς καὶ τὰ πρὸς μητρός, καὶ μάρτυρας τούτων, οὓς ὑμεῖς ἀληθεῖς φήσετ' εἶναι, παρασχέσθαι, τὰς δὲ λοιδορίας καὶ τὰς αἰτίας ἀνελεῖν· ὑμᾶς δ' ἀκούσαντας τούτων, ἐὰν μὲν ὑμῖν πολίτης ὢν κατεστασιάσθαι δοκῶ, σῴζειν, εἰ δὲ μή, πράττειν ὁποῖον ἄν τι ὑμῖν εὐσεβὲς εἶναι δοκῇ.

(Secuntur argumenta et testimonia.)

IX. De impensis laboribusque trierarchiae.

([Dem.] L 4—19. 59—62. 24—37.)

Apollodorus, filius Pasionis argentarii quem populus Atheniensium in civitatem receperat, cum anno Ol. 104, 3 (a. Chr. 362/1) trierarchiam sibi imperatam nimia liberalitate gessisset, anno proximo frustra exspectavit Polyclem, cui cum socio (*συντριήραρχος*) trierarchia obvenerat, in locum suum esse successurum; qua re quoniam plus quattuor mensibus ultra tempus legitimum munus praestitit, lite intenta, ut impensae sibi restituantur, ab illo postulat. bellum tum gerebant Athenienses contra Alexandrum Pherarum tyrannum et Cotum regem Thracium et civitatem Byzantinorum aliasque maritimas, quae naves Atheniensium frumentarias deprendebant. — Videtur Polycli cura navalium mandata fuisse, si recte interpretamur verba § 27: *ὅτι σὺ ἀδόκιμ' ἐποίησας αὐτά* (scil. *τὰ σκεύη*).

1 *Ἑβδόμῃ φθίνοντος μεταγειτνιῶνος μηνὸς ἐπὶ Μόλωνος ἄρχοντος, ἐκκλησίας γενομένης καὶ εἰσαγγελθέντων ὑμῖν πολλῶν καὶ μεγάλων πραγμάτων, ἐψηφίσασθε τὰς ναῦς καθέλκειν τοὺς τριηράρχους· ὧν καὶ ἐγὼ ἦν. καὶ τὸν μὲν καιρὸν τὸν συμβεβηκότα τῇ πόλει τότε οὐκ ἐμὲ δεῖ διεξελθεῖν, ἀλλ' ὑμᾶς αὐτοὺς ἀναμνησθῆναι, ὅτι Τῆνος μὲν καταληφθεῖσ' ὑπ' Ἀλεξάνδρου ἐξηνδρα-*
2 *ποδίσθη, Μιλτοκύθης δ' ἀφειστήκει ἀπὸ Κότυος καὶ πρέσβεις ἐπεπόμφει περὶ συμμαχίας βοηθεῖν κελεύων καὶ τὴν Χερρόνησον ἀποδιδούς, Προκοννήσιοι δὲ σύμ-*

μαχοι ὄντες ἱκέτευον ὑμᾶς ἐν τῷ δήμῳ βοηθῆσαι, λέγοντες ὅτι ὑπὸ Κυζικηνῶν κατέχονται τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ μὴ περιιδεῖν ἀπολομένους· 3
ὧν ἀκούοντες ὑμεῖς τότ' ἐν τῷ δήμῳ αὐτῶν τε λεγόντων καὶ τῶν συναγορευόντων αὐτοῖς, ἔτι δὲ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων περὶ ἔκπλουν ὄντων ἐκ τοῦ Πόντου, καὶ Βυζαντίων καὶ Καλχηδονίων καὶ Κυζικηνῶν κατ-αγόντων τὰ πλοῖα ἕνεκα τῆς ἰδίας χρείας τοῦ σίτου, καὶ ὁρῶντες ἐν τῷ Πειραιεῖ τὸν σῖτον ἐπιτιμώμενον καὶ οὐκ ὄντ' ἄφθονον ὠνεῖσθαι, ἐψηφίσασθε τάς τε ναῦς καθέλκειν τοὺς τριηράρχους καὶ παρακομίζειν ἐπὶ τὸ χῶμα, καὶ τοὺς βουλευτὰς καὶ τοὺς δημάρχους καταλόγους ποιεῖσθαι τῶν δημοτῶν καὶ ἀποφέρειν ναύτας, καὶ διὰ τάχους τὸν ἀπόστολον ποιεῖσθαι καὶ βοηθεῖν ἑκασταχοῖ. καὶ ἐνίκησε τὸ Ἀριστοφῶντος ψήφισμα τουτί. (Decretum legitur.)

Τοῦ μὲν ψηφίσματος τοίνυν ἀκηκόατε, ὦ ἄνδρες 4
δικασταί. ἐγὼ δ' ἐπειδή μοι οὐκ ἦλθον οἱ ναῦται οἱ καταλεγέντες ὑπὸ τῶν δημοτῶν, ἀλλ' ἢ ὀλίγοι καὶ οὗτοι ἀδύνατοι, τούτους μὲν ἀφῆκα, ὑποθεὶς δὲ τὴν οὐσίαν τὴν ἐμαυτοῦ καὶ δανεισάμενος ἀργύριον πρῶτος ἐπληρωσάμην τὴν ναῦν, μισθωσάμενος ναύτας ὡς οἷόν τ' ἦν ἀρίστους, δωρειὰς καὶ προδόσεις δοὺς ἑκάστῳ αὐτῶν μεγάλας. ἔτι δὲ σκεύεσιν ἰδίοις τὴν ναῦν ἅπασι κατεσκεύασα, καὶ τῶν δημοσίων ἔλαβον οὐδέν, καὶ κόσμῳ ὡς οἷόν τ' ἦν κάλλιστα καὶ διαπρεπέστατα τῶν τριηράρχων. ὑπηρεσίαν τοίνυν ἣν ἐδυνάμην κρατίστην ἐμισθωσάμην. (Testimonia leguntur.)

Ὅτι μὲν τοίνυν οὐ ψεύδομαι πρὸς ὑμᾶς περὶ ὧν 5
εἶπον, ὦ ἄνδρες δικασταί, τῶν μαρτυριῶν ἀναγιγνωσκομένων ἀκηκόατε. ἔτι δὲ περὶ ὧν μέλλω λέγειν,

ἅπαντές μοι ὁμολογήσεθ' ὅτι ἀληθῆ ἐστιν. τριήρους γὰρ ὁμολογεῖται κατάλυσις εἶναι, πρῶτον μέν, ἐὰν μὴ μισθόν τις διδῷ, δεύτερον δέ, ἐὰν εἰς τὸν Πειραιᾶ μεταξὺ καταπλεύσῃ· ἀπόλειψίς τε γὰρ πλείστη γίγνεται, οἵ τε παραμένοντες τῶν ναυτῶν οὐκ ἐθέλουσι πάλιν ἐμβαίνειν, ἐὰν μή τις αὐτοῖς ἕτερον ἀργύριον διδῷ, ὥστε τὰ οἰκεῖα διοικήσασθαι. ἃ ἐμοὶ ἀμφότερα συνέβη, ὦ ἄνδρες δικασταί, ὥστε πολυτελεστέραν μοι γε-
6 νέσθαι τὴν τριηραρχίαν. καὶ γὰρ μισθὸν οὐδέν' ἔλαβον παρὰ τοῦ στρατηγοῦ ὀκτὼ μηνῶν καὶ κατέπλευσα τοὺς πρέσβεις ἄγων διὰ τὸ ἄριστά μοι πλεῖν τὴν ναῦν, καὶ ἐνθένδε πάλιν, προσταχθέν μοι ὑπὸ τοῦ δήμου Μένωνα τὸν στρατηγὸν ἄγειν εἰς Ἑλλήσποντον ἀντὶ Αὐτοκλέους ἀποχειροτονηθέντος, ᾠχόμην ἀναγόμενος διὰ τάχους. καὶ ἀντὶ μὲν τῶν ἀπολιπόντων με ναυτῶν ἑτέρους ἐμισθωσάμην ναύτας, δωρειὰς καὶ προδόσεις αὐτοῖς δοὺς μεγάλας, τοῖς δὲ παραμείνασι τῶν ἀρχαίων ναυτῶν ἔδωκά τι εἰς διοίκησιν τῶν οἰκείων καταλιπεῖν
7 πρὸς ᾧ πρότερον εἶχον, οὐκ ἀγνοῶν τὴν παροῦσαν χρείαν, ὡς ἀναγκαία ἦν ἑκάστῳ, ἀπορῶν δ' αὐτὸς ὡς μὰ τὸν Δία καὶ τὸν Ἀπόλλω οὐδεὶς ἂν πιστεύσειεν, ὅστις μὴ ἀληθῶς παρηκολούθηκε τοῖς ἐμοῖς πράγμασιν. ὑποθεὶς δὲ τὸ χωρίον Θρασυλόχῳ καὶ Ἀρχένεῳ καὶ δανεισάμενος τριάκοντα μνᾶς παρ' αὐτῶν καὶ διαδοὺς τοῖς ναύταις ᾠχόμην ἀναγόμενος, ἵνα μηδὲν ἐλλείποι τῷ δήμῳ ὧν προσέταξε τὸ κατ' ἐμέ. καὶ ὁ δῆμος ἀκούσας ταῦτ' ἐπήνεσέ τέ με καὶ ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον ἐκάλεσεν.

8 Ἐπειδὴ τοίνυν εἰς Ἑλλήσποντον ἤλθομεν, καὶ ὅ τε χρόνος ἐξεληλύθει μοι τῆς τριηραρχίας καὶ μισθὸς οὐκ ἀπεδόθη τοῖς στρατιώταις ἀλλ' ἢ δυοῖν μηνοῖν, ἑτε-

ρός τε στρατηγὸς ἧκε Τιμόμαχος καὶ οὗτος διαδόχους οὐκ ἄγων ἐπὶ τὰς ναῦς, ἀθυμήσαντές μοι πολλοὶ τοῦ πληρώματος ᾤχοντ' ἀπολιπόντες τὴν ναῦν, οἱ μὲν εἰς τὴν ἤπειρον στρατευσόμενοι, οἱ δ' εἰς τὰς Θασίων καὶ Μαρωνιτῶν ναῦς, μισθῷ μεγάλῳ πεισθέντες καὶ ἀργύριον πολὺ προλαβόντες καὶ τὰ μὲν παρ' ἐμοῦ ἐξανη- 9
λωμέν' ἤδη ὁρῶντες, τὰ δὲ τῆς πόλεως ἀμελῆ, τὰ δὲ τῶν συμμάχων ἄπορα, τὰ δὲ τῶν στρατηγῶν ἄπιστα καὶ ὑπὸ πολλῶν αὐτῶν λόγῳ ἐξηπατημένοι, καὶ τὸν χρόνον ἐξήκοντα τῆς τριηραρχίας καὶ τὸν πλοῦν οὐκ ὄντ' οἴκαδε, οὐδὲ διάδοχον ἥκοντ' ἐπὶ τὴν ναῦν, παρ' οὗ ἄν τις ἠξίωσεν ὠφεληθῆναι. ὅσῳ γὰρ φιλοτιμούμενος ἄμεινον ἐπληρωσάμην τὴν ναῦν ἐρετῶν ἀγαθῶν, τοσούτῳ μοι πλείστη ἀπόλειψις ἐγένετο τῶν ἄλλων τριηράρχων. τοῖς μὲν γὰρ ἄλλοις, εἰ μή τι ἄλλο, οἵ 10
γ' ἐκ καταλόγου ἐλθόντες ἐπὶ τὴν ναῦν παρέμενον τηροῦντες τὴν οἴκαδε σωτηρίαν, ὁπότ' αὐτοὺς ἀφήσει ὁ στρατηγός· οἱ δ' ἐμοὶ ναῦται πιστεύοντες αὐτοῖς ἐπὶ τῷ δύνασθαι ἐλαύνειν, ὅπου ἤμελλον ἀργύριον πάλιν πλεῖστον λήψεσθαι, ἐνταῦθ' ἀπῆσαν, ἡγούμενοι τὴν ἐν τῷ παρόντι εὐπορίαν κρείττω εἶναι αὐτοῖς τοῦ μέλλοντος φόβου, εἴ ποτε λειφθείησαν ὑπ' ἐμοῦ. τοιού- 11
των τοίνυν μοι τῶν πραγμάτων συμβεβηκότων καὶ τοῦ στρατηγοῦ ἅμα Τιμομάχου προστάξαντος πλεῖν ἐφ' Ἱερὸν ἐπὶ τὴν παραπομπὴν τοῦ σίτου καὶ μισθὸν οὐ διδόντος, εἰσαγγελθέντων ὅτι Βυζάντιοι καὶ Καλχηδόνιοι πάλιν κατάγουσι τὰ πλοῖα καὶ ἀναγκάζουσι τὸν σῖτον ἐξαιρεῖσθαι, δανεισάμενος ἐγὼ ἀργύριον παρ' Ἀρχεδήμου μὲν τοῦ Ἀναφλυστίου πεντεκαίδεκα μνᾶς ἐπιδέκατον, ὀκτακοσίας δὲ δραχμὰς παρὰ Νικίππου τοῦ ναυκλήρου ναυτικὸν ἀνειλόμην, ὃς ἔτυχεν ὢν ἐν Ση-

στῷ, ἐπόγδοον, σωθέντος δὲ τοῦ πλοίου Ἀθήναζ' ἀπο-
12 *δοῦναι αὐτὸ καὶ τοὺς τόκους, καὶ πέμψας Εὐκτήμονα*
τὸν πεντηκόνταρχον εἰς Λάμψακον, δοὺς αὐτῷ ἀργύ-
ριον καὶ γράμματα πρὸς τοὺς ξένους τοῦ πατρὸς τοῦ
ἐμοῦ, ἐκέλευσά μοι αὐτὸν ναύτας μισθώσασθαι ὡς ἂν
δύνηται ἀρίστους· αὐτὸς δ' ὑπομείνας ἐν Σηστῷ τοῖς
τε παραμείνασι τῶν ἀρχαίων ναυτῶν ἔδωκά τι, ὅσον
εἶχον, ἐπειδή μοι ὁ χρόνος ἐξῆκε τῆς τριηραρχίας, καὶ
ἑτέρους ναύτας ἐντελομίσθους προσέλαβον, ἐν ὅσῳ ὁ
στρατηγὸς τὸν ἀνάπλουν τὸν ἐφ' Ἱερὸν παρεσκευάζετο.
13 *ἐπειδὴ δ' ὅ τ' Εὐκτήμων ἧκεν ἐκ τῆς Λαμψάκου ἄγων*
τοὺς ναύτας, οὓς ἐμισθώσατο, καὶ ὁ στρατηγὸς παρήγ-
γειλεν ἀνάγεσθαι, τῷ μὲν Εὐκτήμονι ἀσθενῆσαι ἐξαί-
φνης συνέβη, καὶ πάνυ πονηρῶς διετέθη· τούτῳ μὲν
οὖν ἀποδοὺς τὸν μισθὸν καὶ ἐφόδια προσθεὶς ἀπέ-
πεμψα οἴκαδε· αὐτὸς δὲ πεντηκόνταρχον ἕτερον λαβὼν
ἀνηγόμην ἐπὶ τὴν παραπομπὴν τοῦ σίτου, καὶ ἐκεῖ
περιέμεινα πέντε καὶ τετταράκονθ' ἡμέρας, ἕως ὁ ἔκ-
πλους τῶν πλοίων τῶν μετ' ἀρκτοῦρον ἐκ τοῦ Πόντου
14 *ἐγένετο, τῶν οἰκείων μοι πραγμάτων τοιούτων συμ-*
βεβηκότων ἐν τῷ τότε καιρῷ, ὥσθ' ὑμᾶς ἂν ἀκού-
σαντας ἐλεῆσαι. ἡ μέν γε μήτηρ ἔκαμνε καὶ ἐπιθάνατος
ἦν ἐμοῦ ἀποδημοῦντος, ὥστε μὴ δύνασθαι ἔτ' αὐτὴν
βοηθῆσαι τοῖς ἐμοῖς πράγμασιν ἀνηλωμένοις ἀλλ' ἢ
βραχέα. ἑκταῖος γὰρ ἥκων ἐτύγχανον, καὶ ἐκείνη ἰδοῦσά
με καὶ προσειποῦσα τὴν ψυχὴν ἀφῆκεν, οὐκέτι τῶν
ὄντων κυρία οὖσα, ὥστε δοῦναι ὅσ' ἐβούλετό μοι.
πολλάκις δὲ πρότερον μετεπέμπετό με, ἀφικέσθαι δεο-
15 *μένη αὐτόν, εἰ μὴ τῇ τριήρει οἷόν τ' εἴη. ἡ δὲ γυνή,*
ἣν ἐγὼ περὶ πλείστου ποιοῦμαι, ἀσθενῶς διέκειτο πο-
λὺν χρόνον ἐν τῇ ἐμῇ ἀποδημίᾳ· τὰ δὲ παιδία μικρά,

*ἡ δ' οὐσία ὑπόχρεως· ἡ δὲ γῆ οὐχ ὅπως τινὰ καρπὸν
ἤνεγκεν, ἀλλὰ καὶ τὸ ὕδωρ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ, ὡς
πάντες ἴστε, ἐκ τῶν φρεάτων ἐπέλιπεν, ὥστε μηδὲ λά-
χανον γενέσθαι ἐν τῷ κήπῳ· οἱ δὲ δεδανεικότες ἧκον
ἐπὶ τοὺς τόκους, ἐπειδὴ ὁ ἐνιαυτὸς ἐξῆλθεν, εἰ μή τις
ἀποδοίη αὐτοῖς κατὰ τὰς συγγραφάς. ὧν ἀκούοντά με* 16
*καὶ παρὰ τῶν ἀφικνουμένων λόγῳ, τὰ δὲ καὶ δι' ἐπι-
στολῶν παρὰ τῶν οἰκείων, τίνα μ' οἴεσθε ψυχὴν ἔχειν
ἢ πόσα δάκρυ' ἀφιέναι, τὰ μὲν ἐκλογιζόμενον περὶ
τῶν παρόντων, τὰ δὲ καὶ ποθοῦντ' ἰδεῖν παιδία καὶ
γυναῖκα καὶ μητέρα, ἣν ἐγὼ οὐ πολλὰς ἐλπίδας εἶχον
ζῶσαν καταλήψεσθαι; ὧν τί ἥδιόν ἐστιν ἀνθρώπῳ, ἢ
τοῦ ἕνεκ' ἄν τις εὔξαιτο τούτων στερηθεὶς ζῆν;*

Μόνῳ τοίνυν τούτῳ τῶν ἄλλων διαδόχων οὐκ ἔστι II
*πρόφασις ὑπολειπομένη, διότι οὐ πάλαι ἧκεν ἐπὶ τὴν
ναῦν. ὁ γὰρ Εὐκτήμων ὁ πεντηκόνταρχος, ὡς ἐκ τοῦ
Ἑλλησπόντου ἀπεστάλη οἴκαδ' ἀσθενήσας, ἐπειδὴ κατ-
έπλευσε καὶ ἤκουσε τοῦτον ἐμοὶ διάδοχον καθεστηκότα,
εἰδὼς τόν τε χρόνον ἐξήκοντά μοι τῆς τριηραρχίας καὶ
ἤδη ἐπιτριηραρχοῦντά με, παραλαβὼν Δεινίαν τὸν
κηδεστὴν τὸν ἐμὸν προσέρχεται αὐτῷ ἐν τῷ δείγματι
καὶ ἐκέλευσεν αὐτὸν ὡς τάχιστ' ἐπὶ τὴν ναῦν ἀπο-
πλεῖν, ὡς τῶν ἀναλωμάτων πολλῶν ὄντων, ἃ καθ'
ἡμέραν ἑκάστην πρὸς τῷ παρὰ τοῦ στρατηγοῦ σιτηρε-
σίῳ εἰς τὴν ναῦν διδομένῳ ἀνηλίσκετο, καθ' ἕκαστον* 2
*αὐτῷ διεξιὼν τούς τε μισθοὺς τοὺς τῇ ὑπηρεσίᾳ καὶ
τοῖς ἐπιβάταις κατὰ μῆνα διδομένους τοῖς τε ναύταις,
οὓς αὐτὸς ἐκ τῆς Λαμψάκου ἐμισθώσατο, καὶ τοῖς
ὕστερον ἐπεμβᾶσιν ἀντι τῶν ἀπολιπόντων, ἔτι δ' ὃ
τῶν ἀρχαίων ναυτῶν ἑκάστῳ προσέθηκα δεηθέντι,
ἐπειδή μοι ὁ χρόνος ἐξῆκε τῆς τριηραρχίας, καὶ τἄλλα*

ὅσ' ἦν τὰ καθ' ἡμέραν ἑκάστην ἀναλισκόμεν' εἰς τὴν
ναῦν, οὐκ ἀπείρως ἔχων· διὰ γὰρ ἐκείνου πεντηκον-
3 *ταρχοῦντος καὶ ἠγοράζετο καὶ ἀνηλίσκετο. ἀκούσας*
δ' οὗτος ταῦτα τοῦ τ' Εὐκτήμονος καὶ τοῦ Δεινίου
τοῦ κηδεστοῦ τοῦ ἐμοῦ, περὶ μὲν ὧν ἔλεγον αὐτῷ
οὐδὲν αὐτοῖς ἀποκρίνεται, γελάσαντα δ' ἔφασαν αὐτὸν
εἰπεῖν 'ἄρτι μῦς πίττης γεύεται· ἐβούλετο γὰρ Ἀθη-
ναῖος εἶναι.'
4 *Ἐκ πολλῶν τοίνυν τεκμηρίων οἶμαι ὑμῖν ἐπιδείξειν*
Πολυκλέα, ὅτι οὔτ' αὐτόθεν διενοεῖτο παραλαμβάνειν
παρ' ἐμοῦ τὴν ναῦν, οὔτ', ἐπειδὴ ὑφ' ὑμῶν καὶ τοῦ
ψηφίσματος τοῦ ὑμετέρου ἠναγκάσθη ἐπὶ τὴν ναῦν
ἀπιέναι, ἐλθὼν ἠθέλησέ μοι διαδέξασθαι αὐτήν. οὗ-
τος γὰρ ἐπειδὴ ἀφίκετ' εἰς Θάσον ἤδη μου τέταρτον
μῆν' ἐπιτριηραρχοῦντος, παραλαβὼν ἐγὼ μάρτυρας τῶν
τε πολιτῶν ὡς ἐδυνάμην πλείστους καὶ τοὺς ἐπιβάτας
καὶ τὴν ὑπηρεσίαν προσέρχομαι αὐτῷ ἐν Θάσῳ ἐν τῇ
ἀγορᾷ καὶ ἐκέλευον αὐτὸν τήν τε ναῦν παραλαμβάνειν
παρ' ἐμοῦ ὡς διάδοχον ὄντα καὶ τοῦ ἐπιτετριηραρχη-
5 *μένου χρόνου ἀποδιδόναι μοι τἀναλώματα. λογίσασθαι*
δ' ἤθελον αὐτῷ καθ' ἕκαστον, ἕως μοι μάρτυρες παρῆ-
σαν τῶν ἀνηλωμένων οἵ τε ναῦται καὶ οἱ ἐπιβάται
καὶ ἡ ὑπηρεσία, ἵν' εἴ τι ἀντιλέγοι, εὐθὺς ἐξελέγχοιμι.
οὕτω γάρ μοι ἀκριβῶς ἐγέγραπτο, ὥστ' οὐ μόνον αὐτά
μοι τἀναλώματ' ἐγέγραπτο, ἀλλὰ καὶ ὅποι ἀνηλώθη
καὶ ὅ τι ποιούντων, καὶ ἡ τιμὴ τίς ἦν καὶ νόμισμα
ποδαπόν, καὶ ὁπόσου ἡ καταλλαγὴ ἦν τῷ ἀργυρίῳ, ἵν'
εἴη ἀκριβῶς ἐξελέγξαι με τῷ διαδόχῳ, εἴ τι ἡγοῖτο
6 *ψεῦδος αὐτῷ λογίζεσθαι. ἔτι δὲ καὶ πίστιν αὐτῷ ἐπι-*
θεὶς ἠθέλησα λογίσασθαι τἀνηλωμένα. προκαλουμένου
δέ μου ταῦτ' ἀπεκρίνατό μοι, ὅτι οὐδὲν αὐτῷ μέλοι

*ὧν λέγοιμι. ἐν δὲ τούτῳ ὑπηρέτης ἥκων παρὰ τοῦ
στρατηγοῦ ἐμοὶ παρήγγελλεν ἀνάγεσθαι, οὐ τούτῳ τῷ
διαδόχῳ, οὗ ἡ λειτουργία ἤδη ἐγίγνετο. τότε μὲν οὖν
μοι ἐδόκει ἀνάγεσθαι καὶ πλεῖν, οἷ ἐκέλευεν· ἐπειδὴ* 7
*δὲ κατέπλευσα πάλιν εἰς Θάσον, ἑλκύσας τὰ πλοῖ' εἰς
Στρύμην, οἷ προσέταξεν ὁ στρατηγός, κελεύσας τοὺς
ναύτας ἐν τῇ νηὶ μένειν καὶ τοὺς ἐπιβάτας καὶ τὴν
ὑπηρεσίαν, ἐκβὰς αὐτὸς πορεύομαι ἐπὶ τὴν οἰκίαν, οὗ
κατήγετο Τιμόμαχος ὁ στρατηγός, βουλόμενος κἀκείνου
ἐναντίον παραδιδόναι τὴν ναῦν Πολυκλεῖ τουτῳὶ πλήρη.
καταλαμβάνω οὖν καὶ τοῦτον ἐκεῖ καὶ τοὺς τριηράρ-* 8
*χους καὶ τοὺς διαδόχους καὶ ἄλλους τινὰς τῶν πολι-
τῶν, καὶ εἰσελθὼν εὐθὺς ἐναντίον τοῦ στρατηγοῦ λό-
γους πρὸς αὐτὸν ἐποιούμην καὶ ἠξίουν αὐτὸν τήν τε
ναῦν μοι παραλαμβάνειν καὶ τοῦ ἐπιτετριηραρχημένου
χρόνου ἀποδιδόναι μοι τἀναλώματα, καὶ περὶ τῶν
σκευῶν ἠρώτων αὐτόν, πότερα παραλήψεται ἢ ἴδια
σκεύη ἔχων ἥκοι ἐπὶ τὴν ναῦν. ταῦτα δέ μου προκα-* 9
*λουμένου αὐτὸν ἠρώτα με, διότι σκεύη τ' ἴδια μόνος
ἔχοιμι τῶν τριηράρχων καὶ πότερ' ἡ πόλις οὐκ εἰδείη
τινὰς δυναμένους σκεύη παρασχεῖν ταῖς ναυσίν, ὥστ'
αὐτὴ μὴ παρέχειν. 'ἢ σὺ τοσοῦτον' ἔφη 'ὑπερπέπαι-
κας πλούτῳ τοὺς ἄλλους, ὥστε καὶ σκεύη ἴδι' ἔχειν
καὶ κόσμον χρυσόπαστον μόνος τῶν τριηράρχων; τίς* 10
*ἂν οὖν δύναιτ'' ἔφη 'τὴν σὴν μανίαν καὶ πολυτέλειαν
ὑπομεῖναι, διεφθαρμένον μὲν πλήρωμα καὶ εἰωθὸς
ἀργύριον πολὺ προλαμβάνειν καὶ ἀτελείας ἄγειν τῶν
νομιζομένων ἐν τῇ νηὶ λειτουργιῶν καὶ λοῦσθαι ἐν
βαλανείῳ, τρυφῶντας δ' ἐπιβάτας καὶ ὑπηρεσίαν ὑπὸ
μισθοῦ πολλοῦ καὶ ἐντελοῦς; κακῶν δ'' ἔφη 'διδάσκαλος
γέγονας ἐν τῷ στρατεύματι καὶ αἴτιος εἶ μέρος τι καὶ*

τοῖς ἄλλοις τριηράρχοις πονηροτέρους εἶναι τοὺς στρα-
τιώτας, ζητοῦντας ταὐτὰ τοῖς παρὰ σοί· ἔδει γὰρ σὲ
11 ταὐτὰ ποιεῖν τοῖς ἄλλοις τριηράρχοις.’ λέγοντος δ’
αὐτοῦ ταῦτ’ ἀπεκρινάμην αὐτῷ, ὅτι σκεύη μὲν διὰ τοῦτ’
οὐ λάβοιμι ἐκ τοῦ νεωρίου, ‘ὅτι σὺ ἀδόκιμ’ ἐποίησας
αὐτά. ἀλλ’ εἰ μὲν βούλει, ταῦτα παράλαβε· εἰ δὲ μή,
σκεύη σαυτῷ παρασκεύαζε. περὶ δὲ τῶν ναυτῶν καὶ
τῶν ἐπιβατῶν καὶ τῆς ὑπηρεσίας, εἰ φῂς ὑπ’ ἐμοῦ αὐ-
τοὺς διεφθάρθαι, παραλαβὼν τὴν τριήρη αὐτὸς σαυτῷ
κατασκεύασαι καὶ ναύτας καὶ ἐπιβάτας καὶ ὑπηρεσίαν,
12 οἵτινές σοι μηδὲν λαβόντες συμπλεύσονται. τὴν δὲ
ναῦν παράλαβε· οὐ γὰρ ἔτι μοι προσήκει τριηραρχεῖν·
ὅ τε γὰρ χρόνος ἐξήκει μοι τῆς τριηραρχίας, καὶ ἐπι-
τετριηράρχηκα τέτταρας μῆνας.’ λέγοντος δέ μου ταῦτ’
ἀποκρίνεταί μοι, ὅτι ὁ συντριήραρχος αὐτῷ οὐχ ἥκοι
ἐπὶ τὴν ναῦν· ‘οὔκουν παραλήψομαι μόνος τὴν τριήρη.’

X. Oratio de corona trierarcho praemio danda.

Dem. LI.

Paucis annis post cladem ad insulam Peparethum ab Alexandro Pherarum tyranno (cf. § 7) anno a. Chr. 361 acceptam Athenienses cum novam expeditionem pararent, decreverant, ut trierarchorum qui primus navem suam exornasset corona donaretur, qui ad diem constitutam rem neglexisset in carcerem coniceretur. quo ex decreto cum is qui causam dicit coronam acceperit, cum eo adversarii ad senatum de praemio contendunt, quamquam trierarchiam sibi imperatam ei qui minimam postulaverat pecuniam (§ 6 *τὸν ἐξ ἐλαχίστου τριηραρχεῖν βουλόμενον*) locaverunt. illius patronus extitit solus Cephisodotus, horum causae adsunt complures oratores, quos mercede conductos esse veri est simile (§ 13 sq.); suadent autem, corona si clientibus suis recusetur ut universis expeditionis illius trierarchis addicatur (§ 15 *κελεύουσι κοινῇ στεφανοῦν ἡμᾶς*).

*Εἰ μὲν ὅτῳ πλεῖστοι συνείποιεν, ὦ βουλή, τὸ ψή- 1
φισμ' ἐκέλευε δοῦναι τὸν στέφανον, κἂν ἀνόητος ἦν,
εἰ λαβεῖν αὐτὸν ἠξίουν, Κηφισοδότου μόνου μοι συν-
ειρηκότος, τούτοις δὲ παμπόλλων. νῦν δὲ τῷ πρώτῳ
παρασκευάσαντι τὴν τριήρη τὸν ταμίαν προσέταξεν ὁ
δῆμος δοῦναι, πεποίηκα δὲ τοῦτ' ἐγώ· διό φημι δεῖν
αὐτὸς στεφανοῦσθαι. θαυμάζω δὲ καὶ τούτων, ὅτι 2
τῆς τριήρους ἀμελήσαντες τοὺς ῥήτορας παρεσκεύασαν,
καὶ δοκοῦσί μοι παντὸς διημαρτηκέναι τοῦ πράγματος
καὶ νομίζειν οὐχὶ τοῖς ποιοῦσιν ἃ δεῖ χάριν ὑμᾶς
ἔχειν, ἀλλὰ τοῖς φάσκουσιν, οὐ τὸν αὐτὸν τρόπον ἐγνω-
κότες, ὅνπερ ἐγώ, περὶ ὑμῶν. καὶ κατ' αὐτὸ δὴ τοῦτο
δικαίως ἂν ἔχοιτ' εὐνοϊκωτέρως ἐμοί· φαίνομαι γὰρ
βελτίους ὑμᾶς ὑπολαμβάνων ἢ οὗτοι. χρῆν μὲν οὖν, 3
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δίκαιον ἦν, τοὺς τὸν στέφανον
οἰομένους δεῖν παρ' ὑμῶν λαβεῖν αὐτοὺς ἀξίους ἐπι-
δεικνύναι τούτου, μὴ ἐμὲ κακῶς λέγειν. ἐπειδὴ δὲ
τοῦτο παρέντες ἐκεῖνο ποιοῦσιν, ἀμφότερ' αὐτοὺς ἐπι-
δείξω ψευδομένους, ἅ θ' αὐτοὺς ἐνεκωμίασαν καὶ ὅσ'
εἰς ἡμᾶς ἐβλασφήμησαν, ἐξ αὐτῶν τῶν πεπραγμένων
ἑκατέροις.*

*Ψήφισμα γὰρ ὑμῶν ποιησαμένων, ὃς ἂν μὴ πρὸ 4
τῆς ἕνης καὶ νέας ἐπὶ χῶμα τὴν ναῦν περιορμίσῃ, δῆ-
σαι καὶ δικαστηρίῳ παραδοῦναι, καὶ ταῦτα κυρωσάν-
των, ἐγὼ μὲν περιώρμισα καὶ στέφανον διὰ ταῦτα
παρ' ὑμῶν ἔλαβον, οὗτοι δ' οὐδὲ καθείλκυσαν, ὥστ'
ἔνοχοι δεσμῷ γεγόνασιν. πῶς οὖν οὐκ ἀτοπώτατον
ἂν διαπράξαισθ' ἔργον, εἰ τοὺς καθ' αὑτῶν ἐάσαντας
τίμημα τοιοῦτον ἐπαχθῆναι, τούτους στεφανώσαντες
ὑμεῖς φαίνοισθε; τὰ σκεύη τοίνυν, ὅσα δεῖ παρέχειν 5
τὴν πόλιν τοῖς τριηράρχοις, ἐγὼ μὲν ἐκ τῶν ἰδίων*

ἀνήλωσα καὶ τῶν δημοσίων ἔλαβον οὐδέν, οὗτοι δ'
ὑμετέροις κέχρηνται καὶ τῶν σφετέρων οὐδὲν εἰς ταῦτα
προεῖνται. καὶ μὴν οὐδ' ἂν ἐκεῖνό γ' ἔχοιεν εἰπεῖν,
ὡς ἀνεπειρῶντ' ἐμοῦ πρότεροι· πρὶν γὰρ ἧφθαι μόνον
τῆς τριήρους τούτους, ἐπεπλήρωτό μοι, καὶ πάντες
ἑωρᾶθ' ὑμεῖς ἀναπειρωμένην τὴν ναῦν. καίτοι πῶς
εἰσι δίκαιοι ταῦτα μὲν ὕστερον ἐξαναπληροῦν, νῦν δ'
ὡς πρῶτοι παρασκευασάμενοι τὸν στέφανον λαβεῖν;
6 Ἡγοῦμαι τοίνυν, ὅτι μὲν δικαιότατ' ἂν στεφανώ-
σαιτ' ἐμέ, κἂν μηδὲν εἰπόντος ἐμοῦ γιγνώσκειν ὑμᾶς·
ὅτι δ' οὐ μέτεστι μόνοις τούτοις περὶ τοῦ στεφάνου
λόγος, τοῦτ' ἐπιδεῖξαι βούλομαι. πόθεν οὖν τοῦτο
μάλιστ' ἔσται δῆλον; ἀφ' ὧν αὐτοὶ πεποιήκασι· σκε-
ψάμενοι γὰρ τὸν ἐξ ἐλαχίστου τριηραρχεῖν βουλόμενον,
μεμισθώκασι τὴν λειτουργίαν. καίτοι πῶς οὐκ ἄδικον
τῶν μὲν ἀναλωμάτων ἀφεστηκέναι, τῶν δὲ γιγνομέ-
νων δι' ἐκεῖνα τιμῶν ἀξιοῦν ἑαυτοῖς μετεῖναι; καὶ τοῦ
μὲν μὴ περιορμίσαι τὴν ναῦν τότε τὸν μεμισθωμένον
αἰτιᾶσθαι, τῶν δὲ καλῶς δεδιακονημένων νῦν αὑτοῖς
7 κελεύειν χάριν ὑμᾶς ἔχειν; δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες
Ἀθηναῖοι, μὴ μόνον ἐκ τούτων σκοπεῖν τὸ δίκαιον,
ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ πρότερον πεποιήκατε ταὐτά τι-
νων διαπραξαμένων τούτοις. ὅτε γὰρ τῇ ναυμαχίᾳ τῇ
πρὸς Ἀλέξανδρον ἐνικήθητε, τότε τῶν τριηράρχων τοὺς
μεμισθωκότας τὰς τριηραρχίας αἰτιωτάτους τοῦ γεγε-
νημένου νομίζοντες παρεδώκατ' εἰς τὸ δεσμωτήριον,
καταχειροτονήσαντες προδεδωκέναι τὰς ναῦς καὶ λελοι-
8 πέναι τὴν τάξιν. καὶ κατηγόρει μὲν Ἀριστοφῶν, ἐδι-
κάζετε δ' ὑμεῖς· εἰ δὲ μὴ μετριωτέραν ἔσχετε τὴν ὀργὴν
τῆς ἐκείνων πονηρίας, οὐδὲν ἂν αὐτοὺς ἐκώλυε τε-
θνάναι. ταὐτὰ τοίνυν εἰδότες οὗτοι πεπραγμέν' αὑτοῖς

*καὶ ἐκείνοις οὐχὶ φρίττουσιν ἐν ὑμῖν ὑπὲρ ὧν προσήκει
παθεῖν αὐτούς, ἀλλὰ δημηγοροῦσι κατ' ἄλλων καὶ
στεφανοῦν κελεύουσιν ἑαυτούς. καίτοι σκέψασθε, τίν'
ἄν ποτε δόξαιτε βεβουλεῦσθαι τρόπον, εἰ διὰ τὴν
αὐτὴν πρόφασιν τοὺς μὲν θανάτου κρίναντες, τοὺς δὲ
στεφανώσαντες φανεῖτε. καὶ μὴν οὐ μόνον εἰ τοῦτο* 9
*ποιήσαιτε, δοκοῖτ' ἂν ἁμαρτεῖν, ἀλλ' εἰ μὴ καὶ κολά-
σαιτε τοὺς τὰ τοιαῦτα ποιοῦντας, ἔχοντες. οὐ γὰρ
ἐπειδὰν ἐάσητέ τι τῶν ὑμετέρων ἀπολέσθαι, τότε χρὴ
χαλεπαίνειν, ἀλλ' ἐν ᾧ τὰ μὲν ὑμέτερ' ἐστὶ σῶα, καθ-
ορᾶτε δὲ τοὺς ἐφεστηκότας δι' αἰσχροκέρδειαν οὐχὶ
προσήκουσαν πρόνοιαν περὶ σωτηρίας αὐτῶν ποιου-
μένους. καὶ μηδεὶς ὑμῶν ἐπιτιμήσῃ τῷ λόγῳ, πικρὸν
εἶναι νομίσας, ἀλλὰ τοῖς τὸ ἔργον αὐτὸ πεποιηκόσι·
διὰ γὰρ τούτους τοιοῦτός ἐστιν. θαυμάζω δ' ἔγωγε,* 10
*τί δή ποτε τῶν μὲν ναυτῶν τοὺς ἀπολειπομένους, ὧν
τριάκοντα δραχμὰς ἕκαστος ἔχει μόνας, δοῦσι καὶ
κολάζουσιν οὗτοι· τῶν δὲ τριηράρχων τοὺς μὴ συμ-
πλέοντας, ὧν τριάκοντα μνᾶς εἰς ἐπίπλουν εἴληφεν
ἕκαστος, οὐ ταὐτὰ ποιεῖθ' ὑμεῖς· ἀλλ' ἐὰν μὲν πένης
ὤν τις δι' ἔνδειαν ἁμάρτῃ, τοῖς ἐσχάτοις ἐπιτιμίοις
ἐνέξεται, ἐὰν δὲ πλούσιος ὢν δι' αἰσχροκέρδειαν ταὐτὰ
ποιήσῃ, συγγνώμης τεύξεται; καὶ ποῦ τὸ πάντας ἔχειν
ἴσον καὶ δημοκρατεῖσθαι φαίνεται, τοῦτον τὸν τρόπον
ὑμῶν ταῦτα βραβευόντων;*

Βούλομαι τοίνυν, ἐπειδήπερ εἰς τούτους τοὺς λό- 11
*γους προήχθην, καὶ τὰ συμβαίνοντ' ἀπὸ τῶν τοιούτων
ὑμῖν διεξελθεῖν. ἐπειδὰν γάρ τις μισθωσάμενος τριη-
ραρχίαν ἐκπλεύσῃ, πάντας ἀνθρώπους ἄγει καὶ φέρει
καὶ τὰς μὲν ὠφελίας ἰδίᾳ καρποῦται, τὰς δὲ δίκας τού-
των ὁ τυχὼν δίδωσιν ὑμῶν, καὶ μόνοις ὑμῖν οὐδαμόσ'*

ἔστιν ἄνευ κηρυκείου βαδίσαι διὰ τὰς ὑπὸ τούτων
12 ἀνδροληψίας καὶ σύλας κατεσκευασμένας· ὥστε τῇ γ'
ἀληθείᾳ σκοπῶν ἄν τις εὕροι τὰς τοιαύτας τριήρεις
οὐχ ὑπὲρ ὑμῶν ἀλλὰ καθ' ὑμῶν ἐκπεπλευκυίας. τὸν
γὰρ ὑπὲρ τῆς πόλεως τριήραρχον οὐκ ἀπὸ τῶν κοι-
νῶν προσδοκᾶν χρὴ πλουτήσειν, ἀλλ' ἀπὸ τῶν ἰδίων
τὰ τῆς πόλεως ἐπανορθώσειν, εἴπερ ἔσται τι τῶν
δεόντων ὑμῖν. τούτων δὲ τἀναντί' ἕκαστος ἐγνωκὼς
ἐκπλεῖ· καὶ γάρ τοι τὰ τῶν αὑτῶν τρόπων ἁμαρτή-
ματα ταῖς ὑμετέραις βλάβαις ἐπανορθοῦνται.
13 Ἄξιον τοίνυν καὶ περὶ τῶν συνειρηκότων εἰπεῖν.
οὕτω γὰρ ἡγοῦνταί τινες ἐξουσίαν εἶναι σφίσι καὶ
ποιεῖν ὅ τι βούλονται καὶ λέγειν παρ' ὑμῖν, ὥστε
τῶν τότε συγκατηγορούντων μετ' Ἀριστοφῶντος καὶ
πικρῶν ὄντων τοῖς μεμισθωκόσι τὰς τριηραρχίας νῦν
κελεύουσί τινες τούτους στεφανῶσαι, καὶ δυοῖν θάτε-
ρον ἐξελέγχουσ' αὑτούς, ἢ τότ' ἐκείνους ἀδίκως συκο-
φαντοῦντες ἢ νῦν τοῖσδ' ἐπὶ μισθῷ συνηγοροῦντες.
14 ἔπειθ' οὕτως ὀλιγωροῦσι τοῦ δοκεῖν ἐπιεικεῖς εἶναι καὶ
παντελῶς τἄλλα πάρεργα πρὸς τὸ λαβεῖν νομίζουσιν,
ὥστ' οὐ μόνον τοῖς πρότερον ῥηθεῖσιν ὑφ' αὑτῶν
ἐναντία τολμῶσι δημηγορεῖν, ἀλλὰ καὶ νῦν οὐ ταὐτὰ
λέγουσιν ἑαυτοῖς, οἵτινες τοὺς μὲν ναύτας φασὶ δεῖν
οἰκείους εἶναι τῆς τριήρους τῆς ληψομένης τὸν στέφα-
νον, τῶν δὲ τριηράρχων τοὺς ἠλλοτριωκότας αὑτοὺς
ἀπὸ τῆς λειτουργίας, τούτους στεφανῶσαι κελεύουσι.
15 καὶ φασὶ μὲν οὐδένα τούτων πρότερον παρασκευάσα-
σθαι, κελεύουσι δὲ κοινῇ στεφανοῦν ἡμᾶς, τοῦ ψηφί-
σματος οὐ ταῦτα λέγοντος. ἐγὼ δὲ τοσούτου δέω τοῦτο
συγχωρεῖν, ὅσουπερ καὶ μεμισθωκέναι τὴν τριηραρχίαν·
οὔτε γὰρ τοῦθ' ὑπομείναιμ' ἂν οὔτ' ἐκεῖν' ἐποίησα.

Τοῦ τοίνυν τούτους ἀδίκους εἶναι καὶ θρασεῖς 16
οὐδένες ὑμῶν εἰσιν αἰτιώτεροι· παρὰ γὰρ τῶν λεγόν-
των, οὓς ἴστ' ἐπὶ μισθῷ τοῦτο πράττοντας, πυνθά-
νεσθε, ποῖόν τιν' ἕκαστον δεῖ νομίζειν, οὐκ αὐτοὶ θεω-
ρεῖτε. καίτοι πῶς οὐκ ἄτοπον, τούτους μὲν αὐτοὺς
πονηροτάτους τῶν πολιτῶν νομίζειν, τοὺς δ' ὑπὸ τού-
των ἐπαινουμένους χρηστοὺς ἡγεῖσθαι; καὶ γάρ τοι 17
πάντα δι' αὐτῶν ποιοῦνται καὶ μόνον οὐχ ὑπὸ κήρυ-
κος πωλοῦσι τὰ κοινὰ καὶ στεφανοῦν, ὃν ἂν αὐτοῖς
δοκῇ, καὶ μὴ στεφανοῦν κελεύουσι, κυριωτέρους αὐ-
τοὺς τῶν ὑμετέρων δογμάτων καθιστάντες. ἐγὼ δ'
ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, παραινῶ μὴ ποιεῖν τὴν τῶν
ἀναλίσκειν ἐθελόντων φιλοτιμίαν ἐπὶ τῇ τῶν λεγόν-
των πλεονεξίᾳ. εἰ δὲ μή, διδάξετε πάντας τὰ μὲν ὑφ'
ὑμῶν προσταττόμεν' ὡς εὐτελέστατα διοικεῖν, τοὺς δ'
ὑπὲρ τούτων ἀναιδῶς εἰς ὑμᾶς ψευσομένους ὡς πλεί-
στους μισθοῦσθαι.

XI. Atheniensium fortuna ac salus navibus continetur.

Dem. XXII 8—16.

Sub exitum anni Ol. 106, 1 (a. Chr. 355) senatui potestate se abdicanti auctore Androtione, qui ipse erat senator, populi scito corona, qua senatorum in rem publicam merita honorari solebant, addicta erat. contra illud populi scitum eiusque rogatorem Euctemon et Diodorus *γραφὴν παρανόμων* intenderunt cum aliis de causis tum propterea, quod lege prohiberetur is senatus, qui anno suo naves longas non curasset aedificandas, coronam a populo petere.

Περὶ τοίνυν τοῦ νόμου, τοῦ διαρρήδην οὐκ ἐῶν- 1
τος ἐξεῖναι μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰ-
τῆσαι τὴν δωρειάν, ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν
ἣν ποιήσεται καὶ θεωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου
δι' ὧν ἐγχειρεῖ λέγειν. 'ὁ νόμος', φησίν, 'οὐκ ἐᾷ τὴν

βουλὴν αἰτῆσαι τὴν δωρειάν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις· ὁμολογῶ. δοῦναι δέ γ' οὐδαμοῦ', φησί, 'κωλύει τὸν δῆμον. ἐγὼ δ' εἰ μὲν ἔδωκ' αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα· εἰ δὲ μὴ πεποίημαι μνείαν περὶ τῶν νεῶν ἐν ὅλῳ τῷ ψηφίσματι, ἀλλ' ἕτερ' ἄττα λέγω, δι' ἃ τὴν βουλὴν στεφανῶ, πῶς παρὰ τὸν νόμον εἴρηκα;'
2 *ἔστι δὴ πρὸς ταῦτ' οὐ χαλεπὸν τὰ δίκαι' ὑμῖν ἀντειπεῖν, ὅτι πρῶτον μὲν οἱ προεδρεύοντες τῆς βουλῆς καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν, ὅτῳ δοκεῖ δωρειᾶς ἀξίως ἡ βουλὴ βεβουλευκέναι καὶ ὅτῳ μή· καίτοι τούς γε μὴ αἰτοῦντας μηδὲ λαβεῖν ἀξιοῦντας οὐδ' ἐπερωτᾶν προσῆκεν.*
3 *πρὸς τοίνυν τούτοις, ἔστιν ἃ Μειδίου κατηγοροῦντος τῆς βουλῆς καὶ ἄλλων τινῶν, ἀναπηδῶντες οἱ βουλευταὶ ἐδέοντο μὴ σφᾶς ἀφελέσθαι τὴν δωρειάν. καὶ ταῦτ' οὐ παρ' ἐμοῦ δεῖ πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ παρόντες ἴστ' ἐν τῷ δήμῳ γενόμενα. ὥσθ' ὅταν μὲν μὴ φῇ τὴν βουλὴν αἰτεῖν, ταῦθ' ὑπολαμβάνετε· ὅτι δ' οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι μὴ ποιησαμένοις*
4 *τὰς ναῦς ὁ νόμος, καὶ τοῦτ' ἐπιδείξω. διὰ ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔχει τὸν τρόπον ὁ νόμος, μὴ ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι τὴν δωρειάν, ἵνα μηδὲ πεισθῆναι μηδ' ἐξαπατηθῆναι γένοιτ' ἐπὶ τῷ δήμῳ. οὐ γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νόμον ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ πρᾶγμα καταστῆσαι, ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα καὶ συμφέρον τῷ δήμῳ, νόμῳ τετάχθαι. τὰς τριήρεις οὐ πεποίησαι; μὴ τοίνυν αἴτει τὴν δωρειάν. ὅπου δ' αἰτεῖν οὐκ ἐᾷ, πῶς οὐ σφόδρα γε δοῦναι κωλύει;*

5 *Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο ἐξετάσαι, τί δήποτ', ἂν τἄλλα πάνθ' ἡ βουλὴ καλῶς βου-*

*λεύσῃ καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις
μὴ ποιήσηται, τὴν δωρειὰν οὐκ ἔξεστιν αἰτῆσαι. εὑρή-
σετε γὰρ τοῦτ' ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον.
οἶμαι γὰρ ἂν μηδέν' ἀντειπεῖν, ὡς οὐχ, ὅσα πώποτε
τῇ πόλει γέγονεν ἢ νῦν ἐστιν ἀγάθ' ἢ θάτερα, ἵνα
μηδὲν εἴπω φλαῦρον, ἐκ τῆς τῶν τριήρων τὰ μὲν κτή-
σεως τὰ δ' ἀπουσίας γέγονεν. οἷον — πολλὰ μὲν ἂν* 6
*τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ καινά· ἃ δ' οὖν πᾶσιν
μάλιστ' ἀκοῦσαι γνώριμα, τοῦτο μέν, εἰ βούλεσθ', οἱ
τὰ προπύλαια καὶ τὸν παρθενῶν' οἰκοδομήσαντες ἐκεῖνοι
καὶ τἄλλ' ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες, ἐφ'
οἷς φιλοτιμούμεθα πάντες εἰκότως, ἴστε δήπου τοῦτ'
ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόντες καὶ κατακλεισθέντες
εἰς Σαλαμῖν' ἐκ τοῦ τριήρεις ἔχειν πάντα μὲν τὰ σφέ-
τερ' αὐτῶν καὶ τὴν πόλιν τῇ ναυμαχίᾳ νικήσαντες
ἔσωσαν, πολλῶν δὲ καὶ μεγάλων ἀγαθῶν τοῖς ἄλλοις
Ἕλλησι κατέστησαν αἴτιοι, ὧν οὐδ' ὁ χρόνος τὴν μνή-
μην ἀφελέσθαι δύναται. εἶεν· ἀλλ' ἐκεῖνα μὲν ἀρχαῖα* 7
καὶ παλαιά. ἀλλ' ἃ πάντες ἑωράκατ', ἴσθ' ὅτι πρώην Ol. 105,3 a. Chr.
Εὐβοεῦσιν ἡμερῶν τριῶν ἐβοηθήσατε καὶ Θηβαίους 357
*ὑποσπόνδους ἀπηλλάξατε. ἆρ' οὖν ταῦτ' ἐπράξατ' ἂν
οὕτως ὀξέως, εἰ μὴ ναῦς εἴχετε καινάς, ἐν αἷς ἐβοη-
θήσατε; ἀλλ' οὐκ ἂν ἠδύνασθε. ἄλλα πόλλ' ἔχοι τις
ἂν εἰπεῖν, ἃ τῇ πόλει γέγονεν ἐκ τοῦ ταύτας κατε-
σκευάσθαι καλῶς ἀγαθά. εἶεν· ἐκ δὲ τοῦ κακῶς πόσα* 8
*δεινά; τὰ μὲν πόλλ' ἐάσω· ἀλλ' ἐπὶ τοῦ Δεκελεικοῦ
πολέμου (τῶν γὰρ ἀρχαίων ἕν, ὃ πάντες ἐμοῦ μᾶλλον
ἐπίστασθ', ὑπομνήσω) πολλῶν καὶ δεινῶν ἀτυχημάτων
συμβάντων τῇ πόλει, οὐ πρότερον τῷ πολέμῳ παρέ-
στησαν, πρὶν τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. καὶ τί δεῖ
τὰ παλαιὰ λέγειν; τὸν τελευταῖον γὰρ ἴστε πρὸς Λακε-*

Ol. 100, 3 a. Chr. 378 δαιμονίους πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτ' ἀπο-
στεῖλαι δυνήσεσθαι, πῶς διέκειθ' ἡ πόλις. ἴστ' ὀρό-
Ol. 101, 2 a. Chr. 374 βους ὄντας ὠνίους. ἐπειδὴ δ' ἀπεστείλατε, εἰρήνης
9 ἐτύχεθ' ὁποίας τινὸς ἠβούλεσθε. ὥστε δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ' ἑκάτερα τῶν τριήρων, τοῦτον ὅρον τεθείκατε τῇ βουλῇ, πότερ' αὐτὴν δεῖ λαβεῖν τὴν δωρειὰν ἢ οὔ. εἰ γὰρ πάντα τἄλλα διοικήσειε καλῶς, δι' ὧν δὲ τό τ' ἐξ ἀρχῆς ταῦτ' ἐκτησάμεθα καὶ νῦν σῴζομεν, ταύτας μὴ ποιήσαιτο, τὰς τριήρεις λέγω, οὐδὲν ἐκείνων ὄφελος· τὴν γὰρ τῶν ὅλων σωτηρίαν πρῶτον ὑπάρχειν δεῖ παρεσκευασμένην τῷ δήμῳ.

XII. Midiae in Demosthenem choragum iniuriarum enarratio. Midias cum Alcibiade comparatur.

Dem. XXI 1. 13—18. 143—150.

Demosthenes Midiam certa quadam actionis formula, quae probole (§ 1 προβάλλεσθαι) vocabatur, accusavit. acta est causa, priusquam ad iudices veniret, in comitiis. — § 4 verbo στρατείας dicitur expeditio, quam Athenienses a. 350 in Euboeam fecerunt. — De ipsa re cf. Aesch. 3, 52 τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν.

1 Τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδέν' οὔθ' ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι. ἐγὼ δ', ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος ὑβρισθεὶς προείλετο πρᾶξαι, τοῦτο καὶ αὐτὸς ἐποίησα, καὶ προὐβαλόμην ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτήν, οὐ μόνον πληγὰς ὑπ' αὐτοῦ λαβὼν τοῖς Διονυσίοις, ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν.

2 Ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ, τρίτον ἔτος τουτί, παρούσης δὲ τῆς ἐκ-

κλησίας, ἐν ᾗ τὸν ἄρχοντ' ἐπικληροῦν ὁ νόμος τοῖς Ol. 107,2
χοροῖς τοὺς αὐλητὰς κελεύει, λόγων καὶ λοιδορίας γι- a. Chr. 351
γνομένης, καὶ κατηγοροῦντος τοῦ μὲν ἄρχοντος τῶν
ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπιμελητῶν τοῦ ἄρχον-
τος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν ἐθελοντής,
καὶ κληρουμένων πρῶτος αἱρεῖσθαι τὸν αὐλητὴν ἔλα-
χον, ὑμεῖς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες ἀμφότερ' 3
ὡς οἷόν τε μάλιστ' ἀπεδέξασθε, τήν τ' ἐπαγγελίαν τὴν
ἐμὴν καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης, καὶ θόρυβον καὶ
κρότον τοιοῦτον ὡς ἂν ἐπαινοῦντές τε καὶ συνησθέντες
ἐποιήσατε, Μειδίας δ' οὑτοσὶ μόνος τῶν πάντων, ὡς
ἔοικεν, ἠχθέσθη καὶ παρηκολούθησε παρ' ὅλην τὴν
λειτουργίαν ἐπηρεάζων μοι συνεχῶς καὶ μικρὰ καὶ
μείζω. ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς ἐναντιούμενος 4
ἡμῖν ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν ἢ προβαλλό-
μενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν
ἐπιμελητὴν ἢ τἄλλα πάνθ' ὅσα τοιαῦτ', ἐάσω· οὐ γὰρ
ἀγνοῶ τοῦθ', ὅτι τῷ μὲν ἐπηρεαζομένῳ τότ' ἐμοὶ καὶ
ὑβριζομένῳ τὴν αὐτὴν ὀργὴν ἕκαστον τούτων, ἥνπερ
ἄλλ' ὁτιοῦν τῶν δεινοτάτων, παρίστη, ὑμῖν δὲ τοῖς ἔξω
τοῦ πράγματος οὖσιν οὐκ ἂν ἴσως ἄξι' αὐτὰ καθ' αὑτὰ
ἀγῶνος φανείη· ἀλλ' ἃ πάντες ἂν ὁμοίως ἀγανακτή-
σαιτε, ταῦτ' ἐρῶ. τὴν γὰρ ἐσθῆτα τὴν ἱεράν (ἱερὰν 5
γὰρ ἔγωγε νομίζω πᾶσαν ὅσην ἄν τις ἕνεκα τῆς ἑορτῆς
παρασκευάσηται, τέως ἂν χρησθῇ) καὶ τοὺς στεφάνους
τοὺς χρυσοῦς, οὓς ἐποιησάμην ἐγὼ κόσμον τῷ χορῷ,
ἐπεβούλευσεν, ὦ ἄνδρες Ἀθηναῖοι, διαφθεῖραί μοι
νύκτωρ ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν τοῦ χρυσοχόου. καὶ
διέφθειρεν, οὐ μέντοι πᾶσάν γε· οὐ γὰρ ἠδυνήθη.
καίτοι τοῦτό γ' οὐδείς πώποτ' οὐδέν' ἂν φήσειεν ἀκη-
κοέναι τολμήσαντ' οὐδὲ ποιήσαντ' ἐν τῇ πόλει. οὐκ 6

ἀπέχρησε δ' αὐτῷ τοῦτ', ἀλλὰ καὶ τὸν διδάσκαλον, ὦ ἄνδρες Ἀθηναῖοι, διέφθειρέ μου τοῦ χοροῦ· καὶ εἰ μὴ Τηλεφάνης ὁ αὐλητὴς ἀνδρῶν βέλτιστος περὶ ἐμὲ τότ' ἐγένετο καὶ τὸ πρᾶγμ' αἰσθόμενος τὸν ἄνθρωπον ἀπελάσας αὐτὸς συγκροτεῖν καὶ διδάσκειν ᾤετο δεῖν τὸν χορόν, οὐδ' ἂν ἠγωνισάμεθ', ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἀδίδακτος ἂν εἰσῆλθ' ὁ χορὸς καὶ πράγματ' αἴσχιστ' ἂν ἐπάθομεν. καὶ οὐδ' ἐνταῦθ' ἔστη τῆς ὕβρεως, ἀλλὰ τοσοῦτον αὐτῷ περιῆν, ὥστε τὸν ἐστεφανωμένον ἄρχοντα διέφθειρε, τοὺς χορηγοὺς συνῆγεν ἐπ' ἐμέ, βοῶν, ἀπειλῶν, ὀμνύουσι παρεστηκὼς τοῖς κριταῖς, τὰ παρασκήνια φράττων, προσηλῶν, ἰδιώτης ὢν τὰ δημόσια, κακὰ καὶ πράγματ' ἀμύθητά μοι παρέχων διετέλεσεν.

7 *καὶ τούτων, ὅσα γ' ἐν τῷ δήμῳ γέγον' ἢ πρὸς τοῖς κριταῖς ἐν τῷ θεάτρῳ, ὑμεῖς ἐστέ μοι μάρτυρες πάντες, ὦ ἄνδρες δικασταί. καίτοι τῶν λόγων τούτους χρὴ δικαιοτάτους ἡγεῖσθαι, οὓς ἂν οἱ καθήμενοι τῷ λέγοντι μαρτυρῶσιν ἀληθεῖς εἶναι. προσδιαφθείρας τοίνυν τοὺς κριτὰς τῷ ἀγῶνι τῶν ἀνδρῶν, δύο ταῦθ' ὡσπερεὶ κεφάλαι' ἐφ' ἅπασι τοῖς αὐτῷ νενεανιευμένοις ἐπέθηκεν, ἐμοῦ μὲν ὕβρισε τὸ σῶμα, τῇ φυλῇ δὲ κρατούσῃ τὸν ἀγῶν' αἰτιώτατος τοῦ μὴ νικῆσαι κατέστη.*

II *Λέγεταί ποτ' ἐν τῇ πόλει κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι, ᾧ σκέψασθε, τίνων εὐεργεσιῶν ὑπαρχουσῶν καὶ ποίων τινῶν πρὸς τὸν δῆμον, πῶς ἐχρήσανθ' ὑμῶν οἱ πρόγονοι, ἐπειδὴ βδελυρὸς καὶ ὑβριστὴς ᾤετο δεῖν εἶναι. καὶ οὐκ ἀπεικάσαι δήπου Μειδίαν Ἀλκιβιάδῃ βουλόμενος τούτου μέμνημαι τοῦ λόγου, οὐχ οὕτως εἰμ' ἄφρων οὐδ' ἀπόπληκτος ἐγώ, ἀλλ' ἵν' εἰδῆθ' ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γνῶθ', ὅτι οὐδὲν οὔτ' ἔστιν οὔτ' ἔσται, οὐ*

γένος, οὐ πλοῦτος, οὐ δύναμις, ὅ τι τοῖς πολλοῖς ὑμῶν,
ἂν ὕβρις προσῇ, προσήκει φέρειν. ἐκεῖνος γάρ, ὦ ἄν- 2
δρες Ἀθηναῖοι, λέγεται πρὸς πατρὸς μὲν Ἀλκμεωνιδῶν
εἶναι (τούτους δέ φασιν ὑπὸ τῶν τυράννων ὑπὲρ τοῦ
δήμου στασιάζοντας ἐκπεσεῖν καὶ δανεισαμένους χρή-
ματ' ἐκ Δελφῶν ἐλευθερῶσαι τὴν πόλιν καὶ τοὺς Πει-
σιστράτου παῖδας ἐκβαλεῖν), πρὸς δὲ μητρὸς Ἱππονίκου
καὶ ταύτης τῆς οἰκίας, ἧς ὑπάρχουσι πολλαὶ καὶ με-
γάλαι πρὸς τὸν δῆμον εὐεργεσίαι. οὐ μόνον δὲ ταῦθ' 3
ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέ-
μενος τὰ ὅπλα τῷ σώματι τὴν εὔνοιαν, οὐ χρήμασιν
οὐδὲ λόγοις ἐνεδείξατο τῇ πατρίδι. ἔτι δ' ἵππων Ὀλυμ-
πίασιν ἀγῶνες ὑπῆρχον αὐτῷ καὶ νῖκαι καὶ στέφανοι,
καὶ στρατηγὸς ἄριστος καὶ λέγειν ἐδόκει πάντων, ὥς
φασιν, εἶναι δεινότατος. ἀλλ' ὅμως οἱ κατ' ἐκεῖνον 4
ὑμέτεροι πρόγονοι οὐδενὸς τούτων αὐτῷ συνεχώρησαν
ὑβρίζειν αὐτούς, ἀλλὰ ποιήσαντες φυγάδ' ἐξέβαλον·
καὶ Λακεδαιμονίων ὄντων ἰσχυρῶν τότε καὶ Δεκέλειαν
ἑαυτοῖς ἐπιτειχισθῆναι καὶ τὰς ναῦς ἁλῶναι καὶ πάνθ'
ὑπέμειναν, ὁτιοῦν ἄκοντες παθεῖν κάλλιον εἶναι νομί-
ζοντες, ἢ ἑκόντες ὑβρίζεσθαι συγχωρῆσαι. καίτοι τί 5
τοσοῦτον ἐκεῖνος ὕβρισεν, ἡλίκον οὗτος νῦν ἐξελήλεγ-
κται; Ταυρέαν ἐπάταξε χορηγοῦντ' ἐπὶ κόρρης. ἔστω
ταῦτα, ἀλλὰ χορηγῶν γε χορηγοῦντα τοῦτ' ἐποίησεν,
οὔπω τόνδε τὸν νόμον παραβαίνων· οὐ γὰρ ἔκειτό πω.
εἷρξεν Ἀγάθαρχον τὸν γραφέα· καὶ γὰρ ταῦτα λέγουσιν.
λαβών γέ τι πλημμελοῦνθ', ὥς φασιν, ὅπερ οὐδ' ὀνει-
δίζειν ἄξιον. τοὺς Ἑρμᾶς περιέκοπτεν. ἅπαντα μὲν
οἶμαι τἀσεβήματα τῆς αὐτῆς ὀργῆς δίκαιον ἀξιοῦν· τὸ
δ' ὅλως ἀφανίζειν ἱερ' ἔσθ' ὅ τι τοῦ κόπτειν διαφέρει·
οὐκοῦν οὗτος ἐξελήλεγκται τοῦτο ποιῶν. ἀντιθῶμεν 6

δή τίς ὢν καὶ τίσι ταῦτ' ἐνδεικνύμενος. μὴ τοίνυν ὑμῖν, πρὸς τῷ μὴ καλόν, μηδὲ θεμιτὸν νομίζετ', ἄνδρες δικασταί, μηδ' ὅσιον εἶναι, τοιούτων ἀνδρῶν οὖσιν ἀπογόνοις, πονηρὸν καὶ βίαιον καὶ ὑβριστὴν λαβοῦσιν ἄνθρωπον καὶ μηδένα μηδαμόθεν, συγγνώμης ἢ φιλανθρωπίας ἢ χάριτός τινος ἀξιῶσαι. τίνος γὰρ ἕνεκα; τῶν στρατηγιῶν· ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης οὗτος οὐδενός ἐστ' ἄξιος, μή τί γε τῶν ἄλλων ἡγεμών. ἀλλὰ τῶν λόγων· ἐν οἷς κοινῇ μὲν οὐδὲν πώποτ' εἶπεν
7 *ἀγαθόν, κακῶς δ' ἰδίᾳ πάντας ἀνθρώπους λέγει. γένους ἕνεκα νὴ Δία· καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους, ὥσπερ ἐν τραγῳδίᾳ, τὰς τούτου γονάς; καὶ γάρ τοι διὰ τοῦτο τῶν οὐ προσηκόντων ἀγαθῶν κύριος γεγονὼς καὶ πατρίδος τετυχηκώς, ἣ νόμοις τῶν ἁπασῶν πόλεων μάλιστ' οἰκεῖσθαι δοκεῖ, οὐδέν' οἶμαι τρόπον φέρειν οὐδὲ χρῆσθαι τούτοις δύναται, ἀλλὰ τὸ τῆς φύσεως βάρβαρον ἀληθῶς καὶ θεοῖς ἐχθρὸν ἕλκει καὶ βιάζεται καὶ φανερὸν ποιεῖ τοῖς παροῦσιν ὥσπερ ἀλλοτρίοις, ὅπερ ἔστιν, αὐτὸν χρώμενον.*

XIII. Antidosis.

[Dem.] XLII 5—25.

Atheniensium erat proprium, si quis munus vel trierarchiae vel choregiae vel aliud sibi imperatum detrectaret, ut alterum, quem se magis oneri esse ferendo arbitraretur, provocaret ad antidosim: eo consilio, ut provocatus aut munus susciperet aut omnia sua bona provocanti offerret permutanda. provocatus si munus suscipiebat, acta erat res; sin recusabat, utrumque possessionum suarum commentarios conficere lex volebat; commentariis redditis aut bonorum permutatio fiebat aut, id quod plerumque solebat accidere, res ad iudices veniebat, qui disceptarent, uter munus susciperet. eximebantur autem illa permutatione sola metalla, quae cum publica essent usuique tantum privato vectigali certo concessa, et immunia erant et quovis tempore a re publica poterant reposci. ita is qui verba

facit denuo metalla a re publica redimere coactus in summas pecuniae angustias venerat. — *οἱ τριακόσιοι* § 1 (cf. § 17 *οἱ προεισφέροντες*) sunt cives divitissimi, qui maxima rei publicae onera ferebant. ad § 13 notandum est annonam triplo eo tempore cariorem fuisse.

Τοῦ μεταγειτνιῶνος μηνός, ὦ ἄνδρες δικασταί, τῇ 1
δευτέρᾳ ἱσταμένου ἐποίουν οἱ στρατηγοὶ τοῖς τριακοσίοις τὰς ἀντιδόσεις. ἐν ταύταις ἐκάλεσα κατὰ τὸν νόμον Φαίνιππον τουτονί. καλέσας δὲ καὶ παραλαβὼν τῶν οἰκείων τινὰς καὶ φίλων ἐπορευόμην Κύθηρόνδ᾽ εἰς τὴν ἐσχατιὰν αὐτοῦ. καὶ πρῶτον μὲν περιαγαγὼν τὴν ἐσχατιὰν πλέον ἢ σταδίων οὖσαν τετταράκοντα κύκλῳ ἔδειξα καὶ διεμαρτυράμην ἐναντίον Φαινίππου, ὅτι οὐδεὶς ὅρος ἔπεστιν ἐπὶ τῇ ἐσχατιᾷ· εἰ δέ φησιν, εἰπεῖν ἐκέλευον αὐτὸν ἤδη καὶ δεῖξαι, ὅπως μὴ ὕστερον ἐνταῦθα χρέως γενόμενον ἀναφανήσεται. ἔπειτα 2
παρεσημηνάμην τὰ οἰκήματα, καὶ τοῦτον ἐκέλευον εἰς τἀμὰ βαδίζειν. μετὰ δὲ ταῦτ᾽ ἠρόμην, ὅπου ὁ σῖτος εἴη ὁ ἀπηλοημένος· ἦσαν γὰρ νὴ τοὺς θεοὺς καὶ τὰς θεάς, ἄνδρες δικασταί, δύ᾽ ἅλως αὐτόθι, μικροῦ πλέθρου ἑκατέρα. ὁ δ᾽ ἀπεκρίνατό μοι, ὅτι ὁ μὲν πεπραμένος εἴη τοῦ σίτου, ὁ δ᾽ ἔνδον ἀποκείμενος. τέλος 3
δ᾽, ἵνα μὴ μακρολογῶ, καταστήσας φυλάττειν ἔνδον τινὰς καὶ νὴ Δί᾽ ἀπειπὼν καὶ κωλύσας τοὺς ὀνηλάτας μὴ ἐξάγειν τὴν ὕλην ἐκ τῆς ἐσχατιᾶς (πρὸς γὰρ τῇ ἄλλῃ οὐσίᾳ τῇ Φαινίππου, ὦ ἄνδρες δικασταί, καὶ αὕτη πρόσοδος μεγάλη ἐστὶν αὐτῷ· ἓξ ὄνοι δι᾽ ἐνιαυτοῦ ὑλαγωγοῦσι, καὶ λαμβάνει οὗτος πλέον ἢ δώδεκα δραχμὰς τῆς ἡμέρας) τούτοις ἀπειπών, ὥσπερ λέγω, τῆς ὕλης μὴ ἅπτεσθαι καὶ ἐπαγγείλας ἐπὶ τὰ ἱερὰ Φαινίππῳ κατὰ τὸν νόμον ἀπαντᾶν, ᾠχόμην ἀπιὼν εἰς ἄστυ. πρῶτον μὲν οὖν τῶν εἰρημένων τὰς 4

*μαρτυρίας ὑμῖν παρέξομαι, ἔπειτα καὶ περὶ τῶν ἄλλων
ἀκούσεσθε πάσας τὰς ἀληθείας· τουτονὶ γάρ, ὦ ἄνδρες
δικασταί, Φαίνιππον εὑρήσετ' εὐθὺς ἀπὸ τῆς πρώτης
ἡμέρας ἀρξάμενον τοῦ μηδὲν δίκαιον ποιεῖν. παρεση-
μηνάμην τὰ οἰκήματα, τοῦ νόμου μοι δεδωκότος· οὗ-
τος ἀνέῳξε. καὶ τὸ μὲν ἀφελεῖν τὸ σημεῖον ὁμολογεῖ,
τὸ δ' ἀνοῖξαι τὴν θύραν οὐχ ὁμολογεῖ, ὥσπερ ἄλλου
τινὸς ἕνεκα τὰ σημεῖ' ἀφαιροῦντας ἢ τοῦ τὰς θύρας*
5 *ἀνοῖξαι. ἔπειτ' ἀπεῖπον τὴν ὕλην μὴ ἐξάγειν· ἐξῆγεν
οὗτος ἁπάσας τὰς ἡμέρας, πλὴν ἐκείνης, ἐν ᾗ ἐγὼ
ἀπεῖπον. χρέως οὐδ' ὁτιοῦν ὠφείλετ' ἐπὶ τῇ ἐσχατιᾷ·
νῦν οὗτος ἀποφαίνει πολλά. ἁπλῶς ποιεῖ, ὅ τι ἂν βού-
ληται, οὐχ ὅ τι οἱ νόμοι κελεύουσιν.* (Leguntur testimonia.)
6 *Ἃ μὲν τοίνυν εὐθὺς τῇ πρώτῃ ἡμέρᾳ μετὰ τὰς ἀν-
τιδόσεις ἤρξατό με Φαίνιππος ἀδικεῖν, ἀκηκόατ', ὦ
ἄνδρες Ἀθηναῖοι, καὶ ἐμοῦ καὶ τῶν μαρτύρων. τὰ δὲ
μετὰ ταῦτα γεγενημέν' οὐκέτ' εἰς ἐμὲ μόνον αὐτῷ
ἡμάρτηται, ἀλλὰ καὶ εἰς τοὺς νόμους, ὑπὲρ ὧν ὑμῖν*
7 *ἅπασι σπουδαστέον ἐστίν. ὀμόσας γὰρ τῇ ἑνδεκάτῃ
τοῦ βοηδρομιῶνος μηνὸς ἀποφανεῖν ὀρθῶς καὶ δικαίως
τὴν οὐσίαν, τοῦ νόμου διαρρήδην λέγοντος τριῶν ἡμε-
ρῶν, ἀφ' ἧς ἂν ὀμόσῃ, διδόναι τὴν ἀπόφασιν, ἐδεῖτό
μου προσελθὼν ἐπὶ τῷ δικαστηρίῳ μετὰ Πολυεύκτου
τοῦ Κριωέως καὶ ἑτέρων τινῶν πρῶτον μὲν περὶ δια-
λύσεως συνελθεῖν αὐτῷ· πάντα γάρ μοι τὰ δίκαια
ποιήσειν· ἔπειτα τὴν ἀπόφασιν τῆς οὐσίας ἀναβαλέ-*
8 *σθαι μὴ πολλὰς ἡμέρας. ἡγησάμενος δ' ἐγὼ καὶ με-
τρίου καὶ ἀπράγμονος εἶναι πολίτου μὴ εὐθὺς ἐπὶ
κεφαλὴν εἰς τὸ δικαστήριον βαδίζειν, ἐπείσθην (τί γὰρ
δεῖ μακρολογεῖν;) τὴν μὲν σύνοδον τὴν περὶ τῶν δια-
λύσεων τῇ ὀγδόῃ φθίνοντος τοῦ βοηδρομιῶνος μηνὸς*

ὁμολογῆσαι ποιήσασθαι, τὴν δ' ἀπόφασιν τῆς οὐσίας τῇ ἕκτῃ φθίνοντος. τυχὼν δὲ τούτων ἀμφοτέρων παρ' ἐμοῦ Φαίνιππος οὐδ' εἰς ἑτέραν τῶν ἡμερῶν ἀπήντησεν· ἀλλ' ἀνθ' ἑνὸς δύο νόμους ἥκει πρὸς ὑμᾶς παραβεβηκώς, ἕνα μὲν τὸν κελεύοντα τριῶν ἡμερῶν, ἀφ' ἧς ἂν ὀμόσῃ, τὴν οὐσίαν ἀποφαίνειν, ἕτερον δὲ τὸν κελεύοντα κυρίας εἶναι τὰς πρὸς ἀλλήλους ὁμολογίας, ἃς ἂν ἐναντίον ποιήσωνται μαρτύρων. ἀλλ' ἐγὼ μέν, 9
ἐπειδὴ τοῦτον ἑώρων οὐ προσέχοντά μοι τὸν νοῦν οὐδὲ τοῖς νόμοις, εἰς τὸ στρατήγιον ἔδωκα τὴν ἀπόφασιν, οὗτος δὲ πρῴην ἔδωκέ μοι βιβλίον, οὐδὲν ἄλλο βουλόμενος ἢ δοκεῖν μὲν δεδωκέναι τὴν ἀπόφασιν, μὴ ἔχειν δέ με τοῖς ἐν αὐτῇ γεγραμμένοις ὅ τι χρήσομαι. χρὴ δ', ὦ ἄνδρες δικασταί, μὴ τοῖς ἰσχυροτέ- 10
ραν νομίζουσι τῶν νόμων τὴν αὑτῶν βδελυρίαν εἶναι, πλέον τούτοις τοῦ δικαίου νέμειν· εἰ δὲ μή, πολλοὺς ποιήσετε τοὺς καταγελῶντας τῶν ἐν τοῖς νόμοις δικαίων γεγραμμένων· ἀλλ' ἐκείνοις βοηθεῖν, οἵτινες ἂν τὴν τῶν νόμων φωνὴν ὑμετέραν εἶναι νομίζωσι, καὶ τὴν ἡμέραν ταύτην, τὴν εἰς τὸ δικαστήριον, ὑπὲρ τῶν ἠδικημένων εἶναι, μὴ τῶν ἠδικηκότων.

Ἀντεγράψατό με Φαίνιππος μὴ δικαίως ἀποφαίνειν 11
τὴν οὐσίαν καὶ κατηγορεῖ τοῦ ὅρκου, ὃν ὤμοσα πρὸ τῆς ἀποφάσεως, ὅτι 'πλὴν τῶν ἐν τοῖς ἔργοις' ὑπεσχόμην ἀποφανεῖν τὴν ἄλλην οὐσίαν, ὥσπερ τὸ κατὰ τοὺς νόμους ὀμνύειν τοῦτ' ἄξιον κατηγορίας ὄν. ὑμεῖς δ' ἴστ', ὦ ἄνδρες δικασταί, (ὑμεῖς γὰρ ἔθεσθε) τὸν νόμον, ὃς διαρρήδην οὕτω λέγει· τοὺς δ' ἀντιδιδόντας ἀλλήλοις, ὅταν ὀμόσαντες ἀποφαίνωσι τὴν οὐσίαν, προσομνύειν τόνδε τὸν ὅρκον 'ἀποφανῶ τὴν οὐσίαν τὴν ἐμαυτοῦ ὀρθῶς καὶ δικαίως, πλὴν τῶν ἐν τοῖς ἔργοις

12 τοῖς ἀργυρείοις, ὅσα οἱ νόμοι ἀτελῆ πεποιήκασιν.' (ad
scribam) μᾶλλον δὲ λέγε τὸν νόμον αὐτόν. μικρὸν μὲν
οὖν ἐπίσχες. — ἐγὼ γὰρ καὶ πρότερον προεκαλεσάμην
Φαίνιππον, καὶ νῦν, ὦ ἄνδρες δικασταί, δίδωμ' αὐτῷ
δωρειὰν καὶ ἀφίσταμαι μετὰ τῆς ἄλλης οὐσίας καὶ τῶν
ἐν τοῖς ἔργοις, ἐάν μοι τὴν ἐσχατιὰν μόνην ἐλευθέραν
παραδῷ, ὥσπερ ἦν, ὅτ' ἐγὼ τὸ πρῶτον ἦλθον εἰς αὐ-
τὴν μετὰ μαρτύρων, καὶ ἐάν, ὃν ἐξῆγεν ἐκ τῶν οἰκη-
μάτων σῖτον καὶ οἶνον καὶ τἄλλα, ἀφελὼν ἀπὸ τῶν
θυρῶν τὰ σημεῖα, ταῦτα πάλιν εἰς ταὐτὸ καταστήσῃ.
13 καὶ τί λέγεις ἔτι καὶ βοᾷς; πόλλ' ἐκ τῶν ἔργων τῶν
ἀργυρείων ἐγώ, Φαίνιππε, πρότερον αὐτὸς τῷ ἐμαυτοῦ
σώματι πονῶν καὶ ἐργαζόμενος συνελεξάμην· ὁμολογῶ.
νυνὶ δὲ πλὴν ὀλίγων ἅπαντ' ἀπολώλεκα. σὺ δ' ἐκ τῆς
ἐσχατιᾶς νῦν πωλῶν τὰς κριθὰς ὀκτωκαιδεκαδράχμους
καὶ τὸν οἶνον δωδεκάδραχμον, πλουτεῖς εἰκότως, ἐπει-
δὰν ποιῇς σίτου μὲν μεδίμνους πλέον ἢ χιλίους, οἴνου
14 δὲ μετρητὰς ὑπὲρ ὀκτακοσίους. ἔτ' οὖν τὴν αὐτὴν
ἡμᾶς τάξιν ἔχειν δεῖ, μὴ τῆς αὐτῆς τύχης ἡμῖν παρ-
ακολουθούσης νῦν τε καὶ πρότερον; μηδαμῶς· οὐ γὰρ
δίκαιον. ἀλλὰ διάδεξαι καὶ σὺ καὶ μετάλαβε μικρὸν
χρόνον τῆς τοῦ λειτουργοῦντος τάξεως, ἐπειδὴ οἱ μὲν
ἐν τοῖς ἔργοις ἠτυχήκασιν, ὑμεῖς δ' οἱ γεωργοῦντες
εὐπορεῖτε μᾶλλον ἢ προσῆκεν. ἱκανὸν γὰρ χρόνον δύ'
οὐσίας καρπούμενος διατελεῖς, τὴν μὲν τοῦ φύσει πα-
τρὸς Καλλίππου, τὴν δὲ τοῦ ποιησαμένου σε, Φιλο-
στράτου τοῦ ῥήτορος, καὶ οὐδὲν πώποτε τούτοις πεποίη-
15 κας. καίτοι ὁ μὲν ἐμὸς πατὴρ πέντε καὶ τετταράκοντα
μνῶν μόνων ἑκατέρῳ, ἐμοὶ καὶ τῷ ἀδελφῷ, τὴν οὐσίαν
κατέλιπεν, ἀφ' ἧς ζῆν οὐ ῥᾴδιόν ἐστιν· οἱ δὲ σοὶ πα-
τέρες τοσούτων ἦσαν κύριοι χρημάτων, ὥσθ' ἑκατέρου

τρίποὺς ἀνάκειται, νικησάντων αὐτῶν Διονύσια χορηγούντων. καὶ οὐ φθονῶ· δεῖ γὰρ τοὺς εὐπόρους χρησίμους αὐτοὺς παρέχειν τοῖς πολίταις. σὺ τοίνυν δεῖξον χαλκοῦν ἕνα μόνον εἰς τὴν πόλιν ἀνηλωκώς, ὁ τὰς δύο λειτουργούσας οὐσίας παρειληφώς. ἀλλ' οὐ δείξεις· ἀποκρύπτεσθαι γὰρ καὶ διαδύεσθαι καὶ πάντα ποιεῖν, ἐξ ὧν μὴ λειτουργήσεις τουτοισί, μεμάθηκας.

Ἓν μόνον ἄν τις ἔχοι δεῖξαι τουτονὶ Φαίνιππον 16 *πεφιλοτιμημένον εἰς ὑμᾶς, ἄνδρες δικασταί· ἱπποτρόφος ἀγαθός ἐστι καὶ φιλότιμος, ἅτε νέος καὶ πλούσιος καὶ ἰσχυρὸς ὤν. τί τούτου μέγα σημεῖον; ἀποδόμενος τὸν πολεμιστήριον ἵππον καταβέβηκεν ἀπὸ τῶν ἵππων, καὶ ἀντ' ἐκείνου ὄχημ' αὐτῷ τηλικοῦτος ὢν ἐώνηται, ἵνα μὴ πεζῇ πορεύηται· τοσαύτης οὗτος τρυφῆς ἐστι μεστός. καὶ τοῦτ' ἀπογέγραφέ μοι, τῶν δὲ κριθῶν καὶ τοῦ οἴνου καὶ τῶν ἄλλων τῶν ἐκ τῆς ἐσχατιᾶς γιγνομένων οὐδὲ τὸ δέκατον μέρος. ἄξιόν γ' ἀφεῖναι νῦν* 17 *αὐτόν ἐστιν, ἐπειδὴ χρήσιμος καὶ φιλότιμος καὶ τῇ οὐσίᾳ καὶ τῷ σώματι. πολλοῦ γε καὶ δεῖ. καλῶν γὰρ κἀγαθῶν ἐστι δικαστῶν τοὺς μὲν τῶν πολιτῶν ἐθέλοντας, ὅταν εὐπορῶσι, λειτουργοῦντας καὶ ἐν τοῖς τριακοσίοις ὄντας ἀναπαύειν, ὅταν τούτου δεόμενοι τυγχάνωσι, τοὺς δὲ νομίζοντας ἀπολλύειν, ὅταν εἰς τὸ κοινόν τι δαπανήσωσιν, ἄγειν εἰς τοὺς προεισφέροντας καὶ μὴ ἐπιτρέπειν δραπετεύειν.*

XIV. Alienum est a libera re publica tributa civium durius exigere.

Dem. XXII 47—56. 65—68.

Bello sociorum (a. Chr. 357/5), quo civitas Atheniensium summa pecuniae inopia laborabat, Androtion, cum Euctemonem, unum ex magistratibus, qui tributa a civibus exigenda cura-

bant (ἐκλογεῖς), peculatus insimularet (§ 2), rogaverat, ut decem a populo crearentur viri, qui opera undecim virorum usi tributa debita exigerent. in quibus ipse Androtion fuit, qui rem mandatam acerbissime ac durissime perfecit, cum in ipsas civium domos irrumperet; quod eo minus erat ferendum, quod eius pater, quia pecuniam aerario debitam non solverat, in vincula erat coniectus (§ 10). — De periculo, in quod Androtion postea implicatus est, cf. p. 41.

1 *Βούλομαι δὲ καὶ τὰ πολιτεύματ' ἐξετάσαι τοῦ*
καλοῦ κἀγαθοῦ τούτου, δι' ὧν οὐκ ἔσθ' ὅ τι τῶν
δεινοτάτων ἐλλιπὼν φανήσεται· καὶ γὰρ ἀναιδῆ καὶ
θρασὺν καὶ κλέπτην καὶ ὑπερήφανον καὶ πάντα μᾶλ-
λον ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθ' ἐπιτήδειον ὄντ' αὐτὸν
δείξω. καὶ πρῶτον μέν, ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν
τῶν χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ, μὴ τῇ τού-
του προσέχοντες ἀλαζονείᾳ τὸν νοῦν, ἀλλὰ τὸ πρᾶγμ',
2 *οἷον γέγονε τῇ ἀληθείᾳ, σκοποῦντες. οὗτος Εὐκτήμονα*
φήσας τὰς ὑμετέρας ἔχειν εἰσφορὰς καὶ τοῦτ' ἐξελέγξειν
ἢ παρ' αὐτοῦ καταθήσειν ὑποσχόμενος, καταλύσας ψηφί-
σματι κληρωτὴν ἀρχὴν ἐπὶ τῇ προφάσει ταύτῃ ἐπὶ τὴν
εἴσπραξιν παρέδυ. δημηγορίας δ' ἐπὶ τούτοις ποιού-
μενος, ὡς ἔστι τριῶν αἵρεσις, ἢ τὰ πομπεῖα κατα-
κόπτειν ἢ πάλιν εἰσφέρειν ἢ τοὺς ὀφείλοντας εἰσπράτ-
3 *τειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσ-*
πράττειν, ταῖς ὑποσχέσεσιν κατέχων καὶ διὰ τὸν καιρὸν
ὃς ἦν τότ' ἔχων ἐξουσίαν τοῖς μὲν κειμένοις νόμοις
οὐκ ᾤετο δεῖν χρῆσθαι οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν
ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν
δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει καὶ πολλὰ τῶν
ὑμετέρων κέκλοφε, τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν μεθ'
4 *αὐτοῦ. εἶτ' ἔχων τούτους ἦγ' ἐπὶ τὰς τῶν πολιτῶν οἰ-*
κίας. καὶ τὸν μὲν Εὐκτήμον', ὃν εἰσπράξειν ἢ καταθή-
σειν αὐτὸς ἔφη τὰς εἰσφοράς, οὐδὲν εἶχεν ἐλέγχειν περὶ

*τούτων, ὑμᾶς δ' εἰσέπραττεν, ὥσπερ οὐ διὰ τὴν Εὐκτή-
μονος ἔχθραν ἐπὶ ταῦτ' ἐλθών, ἀλλὰ διὰ τὴν ὑμετέραν.*

Καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς οὐ χρῆν 5
*εἰσπράττειν τοὺς ὀφείλοντας. χρῆν γάρ. ἀλλὰ πῶς;
ὡς ὁ νόμος κελεύει· τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι
δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι,
τοσούτων χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων
ὠφέλησθε, ὅσον ἐζημίωσθε τοιούτων ἐθῶν εἰς τὴν
πολιτείαν εἰσαγομένων. εἰ γὰρ θέλετ' ἐξετάσαι, τίνος
ἕνεκα μᾶλλον ἄν τις ἕλοιτ' ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν
ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα
πραότερ' ἐστὶν ἐν δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς* 6
*ὅπου βούλεσθ' ὀλιγαρχίας οὗτος ἀσελγέστερος γέγονε,
παραλείψω. ἀλλὰ παρ' ἡμῖν πότε πώποτε δεινότατ' ἐν
τῇ πόλει γέγονεν; ἐπὶ τῶν τριάκοντα, πάντες ἂν εἴ-
ποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐκ ἔστιν ὅστις
ἀπεστερεῖτο τοῦ σωθῆναι, ὃς ἑαυτὸν οἴκοι κρύψειεν,
ἀλλὰ τοῦτο κατηγοροῦσι τῶν τριάκοντα, ὅτι τοὺς ἐκ
τῆς ἀγορᾶς ἀπῆγον. οὗτος τοίνυν τοσαύτην ὑπερβολὴν
ἐποιήσατο τῆς ἑαυτοῦ βδελυρίας, ὥστ' ἐν δημοκρατίᾳ
πολιτευόμενος τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον
καθίστη τοὺς ἕνδεκα ἄγων ἐπὶ τὰς οἰκίας. καίτοι, ὦ* 7
*Ἀθηναῖοι, τί οἴεσθε, ὁπότ' ἄνθρωπος πένης, ἢ καὶ
πλούσιος, πολλὰ δ' ἀνηλωκὼς καί τιν' ἴσως τρόπον
εἰκότως οὐκ εὐπορῶν ἀργυρίου ἢ τέγος ὡς τοὺς γεί-
τονας ὑπερβαίνοι ἢ ὑποδύοιθ' ὑπὸ κλίνην ὑπὲρ τοῦ
μὴ τὸ σῶμ' ἁλοὺς εἰς τὸ δεσμωτήριον ἕλκεσθαι ἢ ἄλλ'
ἀσχημονοίη, ἃ δούλων, οὐκ ἐλευθέρων ἐστὶν ἔργα, καὶ
ταῦθ' ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὁρῷτο ποιῶν, ἣν ὡς
ἐλεύθερος ἠγγυήσατο καὶ τῆς πόλεως πολίτης, ὁ δὲ
τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὑτοῦ δί-*

κην λαμβάνειν ἐᾷ τὰ πεπραγμένα καὶ βεβιωμένα, μή
8 τί γ᾽ ὑπὲρ τῆς πόλεως; καίτοι εἴ τις ἔροιτ᾽ αὐτόν, τὰς
εἰσφορὰς πότερον τὰ κτήματ᾽ ἢ τὰ σώματ᾽ ὀφείλει, τὰ
κτήματα φήσειεν ἄν, εἴπερ ἀληθῆ λέγειν βούλοιτο· ἀπὸ
γὰρ τούτων εἰσφέρομεν. τίνος οὖν ἕνεκ᾽ ἀφεὶς τὸ τὰ
χωρία δημεύειν καὶ τὰς οἰκίας καὶ ταῦτ᾽ ἀπογράφειν
ἔδεις καὶ ὕβριζες πολίτας ἀνθρώπους καὶ τοὺς ταλαι-
πώρους μετοίκους, οἷς ὑβριστικώτερον ἢ τοῖς οἰκέταις
9 τοῖς σαυτοῦ κέχρησαι; καὶ μὴν εἰ θέλετε σκέψασθαι,
τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον
ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικη-
μάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δ᾽ ἐλευθέροις,
κἂν τὰ μέγιστ᾽ ἀτυχῶσιν, τοῦτό γ᾽ ἔνεστι σῶσαι· εἰς
χρήματα γὰρ τὴν δίκην περὶ τῶν πλείστων παρὰ τού-
των προσήκει λαμβάνειν. ὁ δὲ τοὐναντίον εἰς τὰ σώ-
ματα, ὥσπερ ἀνδραπόδοις, ἐποιήσατο τὰς τιμωρίας.
10 οὕτω δ᾽ ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς,
ὥστε τὸν μὲν ἑαυτοῦ πατέρ᾽ ᾤετο δεῖν, δημοσίᾳ δε
θέντ᾽ ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτ᾽ ἀποδόντα
ταῦτα μήτε κριθέντ᾽ ἀποδρᾶναι, τῶν δ᾽ ἄλλων πολιτῶν
τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν εἰς τὸ
δεσμωτήριον ἕλκεσθαι.
11 Ὅτι τοίνυν ὅλως οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ
ὑμῶν πεποίηται, καὶ τοῦτ᾽ αὐτίκα δὴ μάλα δῆλον ὑμῖν
ποιήσω. εἰ γάρ τις ἔροιτ᾽ αὐτόν, πότερ᾽ αὐτῷ δοκοῦσιν
ἀδικεῖν μᾶλλον τὴν πόλιν οἱ γεωργοῦντες καὶ φειδό-
μενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖ᾽ ἀναλώματα καὶ
λειτουργίας ἑτέρας ἐλλελοιπότες εἰσφοράν, ἢ οἱ τὰ τῶν
ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ τὰ παρὰ τῶν
συμμάχων κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο
δήπου τόλμης, καίπερ ὢν ἀναιδής, ἔλθοι, ὥστε φῆσαι

*τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν ἢ
τοὺς τὰ κοίν' ὑφαιρουμένους. τίνος οὖν ἕνεκ', ὦ βδε-* 12
*λυρέ, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντ' ἀφ' οὗ σὺ
πολιτεύῃ, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρα-
τηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ
παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς
ἠδίκουν, οἱ δ' ὑποχωρήσαντες φεύγουσιν, οὐδενὸς
πώποτ' ἐξητάσθης κατήγορος οὐδ' ἀγανακτῶν ὤφθης
ὑπὲρ ὧν ἡ πόλις πάσχει, οὕτως ὢν θρασὺς καὶ λέγειν
δεινός, ἀλλ' ἐνταῦθ' ἐφάνης κηδεμὼν ὤν, οὗ σε πολ-
λοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθ', ἄνδρες Ἀθηναῖοι,* 13
*τὸ τούτων αἴτιον ὑμῖν εἴπω; τῶν μὲν οἶδεν ἑαυτὸν
ὄντα, τῶν ἀδικούντων, ὑμᾶς δ' οὐδενὸς ἀξίους ἡγήσατο·
διὸ τοῦτον ἐχρήσατο τὸν τρόπον ὑμῖν. εἰ γὰρ ἀνδρα-
πόδων πόλις, ἀλλὰ μὴ τῶν ἄρχειν ἑτέρων ἀξιούντων
ὡμολογεῖτ' εἶναι, οὐκ ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς
ὕβρεις ἠνέσχεσθε τὰς τούτου, ἃς κατὰ τὴν ἀγορὰν
ὕβριζεν ὁμοῦ μετοίκους, Ἀθηναίους· δῶν, ἀπάγων, βοῶν
ἐν ταῖς ἐκκλησίαις ἐπὶ τοῦ βήματος, δούλους καὶ ἐκ
δούλων καλῶν ἑαυτοῦ βελτίους καὶ ἐκ βελτιόνων, ἐρω-
τῶν εἰ μάτην τὸ δεσμωτήριον ᾠκοδομήθη. ἄλλα δ' ὅσ'
ὕβρικεν, οὐδ' ἂν ἔχοι τις εἰπεῖν· τοσαῦτα τὸ πλῆθός
ἐστιν. ὧν ἀθρόων ἄξιον λαβόντας δίκην τήμερον παρά-
δειγμα ποιῆσαι τοῖς ἄλλοις, ἵν' ὦσι μετριώτεροι.*

XV. De quinque Atheniensium iudiciis, in quibus de homicidio agitur.

(Demosth. XXIII 65—79.)

Πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστι τοιαῦθ' οἷ' οὐχ ἑτέ- 1
*ρωθι, ἓν δ' ἰδιώτατον πάντων καὶ σεμνότατον, τὸ ἐν
Ἀρείῳ πάγῳ δικαστήριον, ὑπὲρ οὗ τοσαῦτ' ἔστιν*

*ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην
τὴν ἡμέραν ἐπιτηδευμάτων· τοὺς γὰρ πολλοὺς ὁμοίους
τοῖς ἤθεσιν ἀποβαίνειν, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν.
ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων ση-
μεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν ταύτην·
ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων
5 πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. δεῖν δὲ
τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι
γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον· οὐ
γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι
τὰς πόλεις, καὶ τοὺς μὲν κακῶς τεθραμμένους καὶ τοὺς
ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους τολμήσειν παρα-
βαίνειν, τοὺς δὲ καλῶς πεπαιδευμένους καὶ τοῖς ἁπλῶς
6 κειμένοις ἐθελήσειν ἐμμένειν. ταῦτα διανοηθέντες οὐ
τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκο-
σμοῦντας, ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς
ἄξιον ζημίας ἐξαμαρτάνειν· ἡγοῦντο γὰρ τοῦτο μὲν
αὑτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν
τοῖς ἐχθροῖς προσήκειν.*

*7 Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα
δὲ τῶν νεωτέρων. ἑώρων γὰρ τοὺς τηλικούτους ταρα-
χωδέστατα διακειμένους καὶ πλείστων γέμοντας ἐπι-
θυμιῶν, καὶ τὰς ψυχὰς αὐτῶν μάλιστα παιδευθῆναι
δεομένας γυμνασίαις καλῶν ἐπιτηδευμάτων καὶ πόνοις
ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμεῖναι
τοὺς ἐλευθερίως τεθραμμένους καὶ μέγα φρονεῖν εἰθι-
8 σμένους. ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν δια-
τριβὰς οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον
ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκά-
στοις προσέταττον. τοὺς μὲν γὰρ ὑποδεέστερον πράτ-
τοντας ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον,*

εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· ἀναιροῦντες οὖν 9
τὴν ἀρχὴν τῶν κακῶν ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνην γιγνομένων. τοὺς δὲ βίον ἱκανὸν κεκτημένους περί τε τὴν ἱππικὴν καὶ τὰ γυμνάσια καὶ τὰ κυνηγέσια καὶ τὴν φιλοσοφίαν ἠνάγκασαν διατρίβειν, ὁρῶντες ἐκ τούτων τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλείστων κακῶν ἀπεχομένους.

Καὶ ταῦτα νομοθετήσαντες οὐδὲ τὸν λοιπὸν χρόνον 10
ὠλιγώρουν, ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους ἐθεώρουν τὸν βίον τὸν ἑκάστου καὶ τοὺς ἀκοσμοῦντας ἀνῆγον εἰς τὴν βουλήν. ἡ δὲ τοὺς μὲν ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν. ἠπίσταντο γάρ, ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας καὶ παύοντες τῶν πονηριῶν· παρ' οἷς μὲν 11
γὰρ μήτε φυλακὴ μηδεμία τῶν τοιούτων καθέστηκε μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων, ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας. ἅπερ ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις· τοσούτου γὰρ ἔδεον αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαί τι προῃσθάνοντο. τοιγαροῦν οὐκ ἐν τοῖς 12
σκιραφείοις οἱ νεώτεροι διέτριβον οὐδ' ἐν ταῖς αὐλητρίσιν οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ζηλοῦντες τοὺς ἐν

τούτοις πρωτεύοντας. οὕτω δ' ἔφευγον τὴν ἀγοράν, ὥστ' εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες.
13 *ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοιδορήσασθαι δεινότερον ἐνόμιζον ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτεῖν. ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησεν. σεμνύνεσθαι γὰρ ἐμελέτων, ἀλλ' οὐ βωμολοχεύεσθαι· καὶ τοὺς εὐτραπέλους δὲ καὶ τοὺς σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.*

Inscriptionis exemplum (cf. fasc. IV p. 67).

3. C. I. A. II 55. Populiscitum anni Ol. 104, 2 (a. Chr. 363/2), quo laudatur Menelaus Pelago, quem in exercitu Atheniensium praefectum equitum fuisse Demosthenes Phil. I 27 testatur. (Satyrus, qui rogavit, haud scio an is fuerit, quem Demosthenes XXII 63 curatorem navalium nominat.) *Μενέλαος Πελαγὼν εὐεργέτης. Ἐπὶ Χαρικλείδου ἄρχοντος, ἐπὶ τῆς Οἰνηΐδος ἕκτης πρυτανείας. Ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ, Οἰνηῒς ἐπρυτάνευεν, Νικόστρατος ἐγραμμάτευεν, Χαρικλῆς Λευκονοεὺς ἐπεστάτει· Σάτυρος εἶπεν· ἐπειδὴ Τιμόθεος ὁ στρατηγὸς ἀποφαίνει Μενέλαον τὸν Πελαγόνα καὶ αὐτὸν συνπολεμοῦντα καὶ χρήματα παρέχοντα εἰς τὸν πόλεμον τὸν πρὸς Χαλκιδέας καὶ πρὸς Ἀμφίπολιν, ἐψηφίσθαι τῇ βουλῇ, προσάγειν αὐτὸν εἰς τὸν δῆμον εἰς τὴν πρώτην ἐκκλησίαν, γνώμην δὲ ξυνβάλλεσθαι τῆς βουλῆς εἰς τὸν δῆμον, ὅτι δοκεῖ τῇ βουλῇ, ἐπαινέσαι μὲν αὐτόν, ὅτι ἀνὴρ ἀγαθός ἐστιν καὶ ποιεῖ ὅτι δύναται ἀγαθὸν τὸν δῆμον τὸν Ἀθηναίων. ἐπιμελεῖσθαι δὲ αὐτοῦ καὶ τοὺς στρατηγοὺς τοὺς ὄντας περὶ Μακεδονίαν, ὅπως ἂν ἐάν του δέηται τυγχάνῃ. εἶναι δὲ καὶ εὑρέσθαι αὐτῷ παρὰ τοῦ δήμου ἐάν τι δύνηται καὶ ἄλλο ἀγαθόν. καλέσαι δὲ καὶ Μενέλαον ἐπὶ ξένια εἰς τὸ πρυτανεῖον εἰς αὔριον. Σάτυρος εἶπεν· τὰ μὲν ἄλλα καθάπερ τῇ βουλῇ· ἐπειδὴ δὲ καὶ οἱ πρόγονοι οἱ Μενελάου εὐεργέται ἦσαν τοῦ δήμου τῶν Ἀθηναίων, εἶναι καὶ Μενέλαον εὐεργέτην . . . . . .*